
U d'/ of Ottawa
39003001869295

2-2-'70

CORRIGÉS

DES

THÈMES GRADUÉS

SUR LA

GRAMMAIRE GRECQUE

PAR A.-F. MAUNOURY,

PROFESSEUR AU PETIT SÉMINAIRE DE SÉEZ

NOUVELLE ÉDITION

PREMIÈRE PARTIE

THÈMES GRADUÉS

SUR LA DÉCLINAISON ET LA CONJUGAISON GRECQUES



PARIS

LIBRAIRIE CH. DELAGRAVE

15, RUE SOUFFLOT, 15

Paris. — Imprimerie F. Levé, rue Cassette, 17.

PRÉFACE

Le *Cours de Thèmes* que nous publions se divise en trois parties. La première est graduée de manière à faire appliquer successivement aux élèves toutes les règles de la déclinaison et de la conjugaison grecques; la seconde suit pas à pas toutes celles de la syntaxe abrégée. La troisième partie contient un choix de morceaux intéressants, qui présentent l'application des principales règles de la grande syntaxe.

Dans les Exercices préliminaires, le premier et le second thème ne renferment que des noms de la première déclinaison; le troisième et le quatrième sont composés de noms de la deuxième déclinaison mêlés avec quelques-uns de la première ; et ainsi des exercices suivants. Il résulte de cette disposition que les élèves ont le plaisir de pouvoir exprimer eux-mêmes en grec un certain nombre de pensées dès qu'ils commencent l'étude de la Grammaire.

Plus tard, dans la Première partie, nous reprenons le même ordre, afin de familiariser complètement les élèves avec les formes de la déclinaison. Mais nous admettons dans nos phrases des adjectifs et des verbes

réguliers, parce que les élèves en ont alors appris les modèles.

Nous avons cru qu'il serait puéril, autant que difficile, de s'astreindre à ne donner aux commençants que du grec ancien pour simple exercice de déclinaison. Mais dès la Seconde partie, lorsque toutes les diverses formes des mots ont pu entrer dans les phrases de nos thèmes, nous nous sommes fait une loi de ne citer que des morceaux choisis dans les écrivains de l'antiquité. Les indications précises que nous donnons dans le *Corrigé* permettent toujours de vérifier les textes.

Dans les notes, comme dans le *Vocabulaire* qui suit l'ouvrage, nous avons été attentif à mettre toutes les indications nécessaires à l'élève, et à supprimer ce qu'il doit trouver lui-même.

Nous avons désiré faire de ce *Cours de Thèmes* un recueil de bonnes pensées et d'anecdotes intéressantes, capables de nourrir le cœur ou de récréer l'esprit. Sans exclure les païens, nous avons admis un grand nombre de morceaux tirés des Saints Pères ; et nous sommes persuadé que ces fragments ne seront pas les moins appréciés par les maîtres, ni les moins goûtés des élèves.

CORRIGÉS
DES
THÈMES GRADUÉS
SUR LA
GRAMMAIRE GRECQUE

PREMIÈRE PARTIE
THÈMES GRADUÉS
Sur la Déclinaison et la Conjugaison.

PREMIÈRE DÉCLINAISON

THÈME I

1. Ἡ φωνὴ τῆς λύρας τὴν μέριμναν λύει. — 2. Μικρὰν μανίαν τὴν μέθην λέγω. — 3. Αἰσχρῶν ἡδονῶν ἀπέχου.

4. Φεῦγε τὴν τρυφὴν ὡς λύμης ἀρχήν. — 5. Ἡδονὴ βραχεῖα πολλάκις λύπην τίκτει μακράν.

6. Μήτε ταῖς ἀπειλαῖς, μήτε ταῖς φιλοφροσύναις τῶν κακῶν ὕπεικε. — 7. Φίλει παιδείαν, ἀλήθειαν, σωφροσύνην, οἰκονομίαν, εὐσέβειαν. — 8. Ἡ παιδεία ἐν μὲν ταῖς εὐτυχίαις κόσμος ἐστὶν, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγή.

9. Ἐν μὲν ῥαθυμίᾳ πενίαν τε καὶ ἀτιμίαν εὑρήσεις, ἐν δὲ σπουδῇ τιμήν τε καὶ δόξαν καὶ ἡδονῶν καλῶν ἀφθονίαν.

THÈME II

1. Τῷ ψεύστῃ μὴ πίστευε · γίγνονται γὰρ ἐκ τῶν ψευστῶν οἱ κλέπται. — 2. Οἰκέτου μέν ἐστι τῷ δεσπότῃ ὑπηρετεῖν, δεσπότου δ' ἔργον μετ' εὐνοίας ἐπιμελεῖσθαι τῶν οἰκετῶν.

3. Ἐν ταῖς ὕλαις, ἐν ταῖς νάπαις αἱ Νύμφαι χορεύουσιν ὑπὸ ταῖς δάφναις καὶ ὑπὸ ταῖς ἐλαίαις.

THÈME III

Deuxième déclinaison.

1. Ὁ Θεός ἐστι κύριος τοῦ κόσμου · ἔστι γὰρ κτίστης τῶν οὐρανῶν καὶ τῆς γῆς.

2. Ὁ Θεὸς ἐποίησε τὸν ἥλιον καὶ τὴν σελήνην, τοὺς ἀνθρώπους καὶ τὰ ζῶα.

3. Ὁ Θεὸς δίδωσι τοῖς ἀνθρώποις τὸν οἶνον τῆς ἀμπέλου καὶ τοὺς καρποὺς τῶν δένδρων.

4. Ὁ Θεὸς δίδωσι τοῖς προβάτοις τὴν πόαν καὶ τοῖς ἵπποις τὸν χόρτον.

THÈME IV

1. Ὁ Θεὸς δίδωσι τὴν ῥώμην τῷ ταύρῳ καὶ τὰ πτερὰ τοῖς πετεινοῖς.

2. Ὁ Θεὸς δίδωσι τὸν μαλλὸν τῷ ἀμνῷ καὶ τὸν μαστὸν τῆς δαμάλης τῷ μόσχῳ.

3. Ὁ Θεὸς δίδωσι τὴν σοφίαν τῷ νεανίᾳ καὶ τὴν ἁγνείαν τῇ παρθένῳ.

THÈME V

Troisième déclinaison.

1. Οἱ τύραννοι ἐδίωκον τοὺς μαθήτας τοῦ Χριστοῦ. Οἱ βασιλεῖς ἐδίδοσαν αὐτοὺς λέουσι, τίγρισι, φλοξίν. Οἱ ἄνακτες ἔκτεινον αὐτοὺς ῥάβδοις καὶ ξίφεσι καὶ λιμῷ.

2. Ἀλλ' οὔτε τοὺς τυράννους, οὔτε τοὺς βασιλέας οἱ Χριστιανοὶ ἐφοβοῦντο. Οὔτε τὰς πυρὰς, οὔτε τοὺς λέοντας, οὔτε τῶν τιγρίδων ὀδόντας ἔφριττον.

3. Τὰς ῥάβδους, τὰ ξίφη, τὸν λιμὸν κατεφρόνουν.

THÈME VI

1. Αἱ βάσανοι τὰ σώματα αὐτῶν ἔξαινον, αἱ μάχαιραι τὰ μέλη ἔτεμνον, αἱ δὲ ψυχαὶ εἰς οὐρανὸν πρὸς τὸν τοῦ Θεοῦ κόλπον ἐσώζοντο.

2. Παρῆλθον μὲν οἱ βασιλεῖς καὶ ἡ δύναμις αὐτῶν, οἱ δὲ τοῦ Χριστοῦ νόμοι ζῶσι καὶ ἀνθοῦσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

THÈME VII

1. Καλὸν δένδρον φύει καλοὺς καρποὺς, καλαὶ δὲ καρδίαι φύουσι τίμια ῥήματα.

2. Καρποὶ γλυκεῖς οὐκ εἰσὶν ἀεὶ καρποὶ καλοὶ, καὶ ἡδέα ῥήματα οὐκ ἔστιν ἀεὶ σοφὰ ῥήματα.

3. Πλουσίους μὲν δυστυχεῖς ὄντας εἶδον ἐγὼ πολλάκις, εὐδαίμονας δὲ οὐκ ἔτι.

4. Πλουσίοις γὰρ ἀνθρώποις μέριμναι συνεχεῖς ἕπονται.

THÈME VIII

1. Οἱ ἄφρονες ἄνθρωποι τοὺς σώφρονας ὀλιγωροῦσιν, οἱ δὲ σώφρονες τοὺς ἄφρονας σώζουσι.

2. Τοὺς ἁγίους ἀνθρώπους νόμιζε σοφοὺς, τοὺς δὲ ἀσελγεῖς καὶ ἀδίκους νόμιζε μωροὺς καὶ ἀνοήτους καὶ ἀθλίους.

3. Μέλαιναι νεφέλαι πέμπουσι χειμῶνα βίαιον τοῖς λῃστοις, καὶ μέλαιναι ὄφρυες τοῦ διδασκάλου ἀγγέλλουσι ῥήματα πικρὰ νωθέσι μαθηταῖς.

THÈME IX

Pronoms.

1. Οὐκ ἡμεῖς πρῶτοι ἐφιλήσαμεν τὸν Θεὸν, ἀλλ' ὁ Θεὸς πρῶτος ἐφίλησεν ἡμᾶς.

2. Οὐκ ἡμεῖς αὐτοὶ δι' ἡμῶν αὐτῶν σώζομεν ἡμᾶς, ἀλλ' ὁ Θεὸς ἔδωκεν ἡμῖν τὸν υἷον ἑαυτοῦ, τὸν σωτῆρα ἡμῶν.

3. Οὐκ ὑμεῖς δι' ὑμῶν ἔστε σῶοι, ὦ ἁμαρτωλοί · ἀλλ' οἱ δίκαιοι οὓς καταφρονεῖτε, ὧν καταγελᾶτε, οἷς μέμφεσθε, οὗτοί εἰσιν δι' οὓς ὁ Θεὸς ἐλέησεν ὑμᾶς.

THÈME X

1. Αὗται αἱ χῆραι, καὶ αἱ παρθένοι, αἳ διατρίβουσι τὸν βίον νηστεύουσαι καὶ εὐχόμεναι καὶ λατρεύουσαι τῷ Θεῷ, αὗταί εἰσιν δι' ἃς ὁ κόσμος παραμένει. Διὰ γὰρ τοὺς ἁμαρτωλοὺς ὁ Θεὸς πάλαί αὐτὸν ἂν διέλυσεν.

2. Τίνες γάρ εἰσιν ἄνθρωποι οὓς μάλιστα φιλεῖ Θεός; οἱ εὐσεβεῖς. Τίνων μάλιστα φροντίζει; τῶν εὐσεβῶν. Τίσι μάλιστα χορηγεῖ τὰ τίμια δῶρα; τοῖς εὐσεβέσιν.

THÈME XI

Verbes.

1. Ἐὰν τῶν ἐπιθυμιῶν σου νῦν βασιλεύῃς, ὦ τέκνον, ἐν τοῖς οὐρανοῖς ποτὲ βασιλεύσεις.

2. Ἐὰν βασιλεύωμεν ἐπιθυμιῶν ἡμετέρων, μείζονες ἐσόμεθα ἢ βασιλεύοντες πολλῶν ἐθνῶν.

3. Βασίλευε τῆς σῆς γλώσσης, καὶ ἔσῃ μέγας τις ἀνήρ.

4. Εἰ τῆς ὀργῆς βασιλεύοις, πάντες ἂν σοῦ θαυμάζοιεν, καὶ σε φιλοῖεν.

THÈME XII

1. Νῦν ἡμᾶς πλήττεις, μαστίζεις, δέρεις, καίεις, ἀποκτείνεις, ἀλλ' ἡμεῖς ποτὲ σοῦ βασιλεύσομεν ἐκ τῶν οὐρανῶν, ἔλεγον οἱ Χριστιανοὶ τῳ Γαληρίῳ.

2. Οὐκ ἀνήρ τις εἶ εὐτελὴς, ὦ παῖ, ἐν τοῖς οὐρανοις ποτὲ βασιλεύσων.

3. Οἱ Ῥωμαῖοι, τοσούτων ἐθνῶν βασιλεύσαντες, οὐκ ἐβασίλευσάν ποτε τῶν Φράγκων.

THÈME XIII

1. Μὴ πιστεύετε τῇ χροᾷ τοῦ μήλου · πεπιστευκυῖαν γὰρ αὐτῇ τὴν μητέρα ἡμῶν ἐφόνευσε τὸ μῆλον.

2. Ἐὰν μὴ κυριεύῃς τῶν παιδῶν σου, δουλεύσεις αὐτοῖς.

3. Θέλεις ἐλεύθερος ὑπάρχειν ἀεί; δούλευε τῷ Θεῷ.

4. Βούλει πράττειν ἀεὶ ὅπερ ἂν θέλῃς; βούλου πράττειν ἀεὶ ὅπερ ἂν Θεὸς θέλῃ.

THÈME XIV

1. Εἰς τὸν Χριστὸν ἐγὼ πεπίστευκα · τὸν θάνατον οὐ δείδω.

2. Εἰς τὸν Χριστὸν πεπιστευκὼς τίς τὸν θάνατον φρίττει;

3. Εἰς τὸν Χριστὸν ἡμεῖς πεπιστεύκαμεν · ἐλπίζοντες οὖν τὸν οὐρανὸν, ἐπὶ τῆς γῆς οὐ θησαυρίζομεν.

THÈME XV

1. Πῶς οἱ Ἀπόστολοι ἐπιστεύοντο παρὰ τῶν ἐθνῶν;

2. Οἱ Ἀπόστολοι τοὺς ἀσθενεῖς, καὶ τοὺς κωφοὺς, καὶ τοὺς τυφλοὺς, καὶ τοὺς χωλοὺς ἐθεράπευον, καὶ δὴ καὶ τοὺς νέκρους ἤγειρον.

3. Καὶ θεραπευθέντες οἱ ἀσθενεῖς, καὶ φθεγγόμενοι οἱ κωφοὶ, καὶ βλέποντες οἱ τυφλοὶ, καὶ ἐξαλλόμενοι οἱ χωλοὶ, καὶ δὴ καὶ ἐγειρόμενοι οἱ νέκροι ἐπίστευον τῷ Χριστῷ, καὶ μετὰ τῶν Ἀποστόλων τὸν Χριστὸν ἐκήρυσσον Θεόν.

THÈME XVI

1. Αἱ παρθένοι σιδηροῖς ὄνυξι ξαινόμεναι, καὶ ῥαπίσι

δερόμεναι, καὶ φλοξὶ καιόμεναι, καὶ θηρσὶ βεϐρωμέναι μεγάλῃ τῇ φώνῃ ἔκραζον· Θεός ἐστιν ὁ Χριστός!

2. Ῥυπαρὰν ἔχεις τὴν ψυχήν; λοῦσαι αὐτὴν ἐν τῷ τῆς μετανοίας ὕδατι. Ἐλούσω τὴν ψυχήν; Μὴ μίαινε πάλιν αὐτήν.

3. Ὁ ψευδόμενος ἀνὴρ καὶ ἀληθεύων οὐ πιστεύεται.

THÈME XVII

1. Οἱ ἑταῖροι Ἀντωνίου ἐν τῇ ἐρήμῳ συνῴκουν τοῖς θηρίοις, ἐνήστευον καθ' ἡμέραν, νύκτωρ ἔψαλλον, ἀεὶ ηὔχοντο·

2. Τὸν ὕπνον ὥριζον τῇ τῆς φύσεως ἀνάγκῃ, τὴν αὐτῶν ἀρετὴν ηὔξανον μελέτῃ διηνέκει, καὶ τὰ ὀνόματα αὐτῶν ἐν τῇ βίϐλῳ τῆς ζωῆς καλοῖς ἔργοις ἐνέγραφον.

THÈME XVIII

1. Ἀπέϐαλλον αὐτοὶ τὰ περιττὰ, πρὸς τὴν ἐν ἀρετῇ προκοπὴν ἀλλήλους προέτρεπον, ἐν εἰρήνῃ συνέζων;

2. Τὰς ἐπιθυμίας συνέστελλον, τὴν ὑπομονὴν ἤσκουν, τὴν καρτερίαν ᾔτουν καὶ τὸν βίον διετέλουν τε καὶ ἤνυτον πρὸς τὸν διάϐολον καὶ τὴν σάρκα μαχόμενοι.

3. Πλῆθος ἀνθρώπων πολὺ ἐκ τῆς Λιϐύης, καὶ τῆς Ἀσίας, καὶ τῆς Εὐρώπης πρὸς αὐτοὺς συνέῤῥει, καὶ πολλοῖς αὐτῶν ἡ τῶν μονάχων εὐθυμία καὶ φαιδρότης ἐνέϐαλλε τὸν ἔρωτα τῆς αὐτῆς πολιτείας.

THÈME XIX

Résumé.

1. Οἱ πατέρες ἡμῶν ἐπίστευον εἰς τὸν Χριστὸν, εἰς αὐτὸν ἡμεῖς πιστεύομεν, καὶ εἰς αὐτὸν πιστεύσουσιν οἱ υἱοὶ ἡμῶν. Οἱ μὴ πιστεύοντες εἰς αὐτὸν ὁδεύουσιν εἰς τὸν θάνατον.

2. Ὄφεις πυροβόλοι ἔδακνον καὶ ἐφόνευον τοὺς Ἑβραίους ἐν τῇ ἐρήμῳ, ἡ δὲ εἰκὼν τοῦ Χριστοῦ ἔσωζε τοὺς βλέποντας αὐτήν.

3. Οἱ ἀσεβεῖς ἐν φλοξὶν ᾅδου κωκυούσιν· ἀκούετε αὐτῶν ἐν φλοξὶν ᾅδου κωκύοντων.

4. Οἱ θηρεύοντες ἡδόνας ἀγρεύουσι λύπας.

5. Οἱ νεοὶ δειδέτωσαν μὲν τὸν ἰὸν τῶν ὄφεων, φευγέτωσαν δὲ τὸν λόγον τῶν ἀσεβῶν.

6. Ὦ ἄγγελοι τοῦ Κυρίου, παίετε τὸ στόμα τῶν βλασφήμων, δεσμεύετε τὴν γλῶσσαν τῶν ἀσελγῶν, φυλάσσετε τὰς καρδίας τῶν νεῶν.

THÈME XX

Ὁ Νωεὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἔκτιζον τὴν κίβωτον, ὑψηλὰ δένδρα τέμνοντες, πρίοντες, λεαίνοντες, ἁρμόζοντες· οἱ δὲ ἄλλοι ἄνθρωποι ἔπινον καὶ ἤσθιον, ᾖδον καὶ ἐχόρευον, ἔψαλλον καὶ ἐχλεύαζον, ἠγόραζον καὶ ἐπίπρασκον, γῆν ἠρότρευον καὶ ἐφύτευον. Ταῦτα δὲ πράσσουσιν ὁ κατακλυσμὸς ἐξαπίνης ἐμπίπτει.

Οὕτω νῦν οἱ ἄφρονες ἄνθρωποι ἐσθίουσι καὶ πίνουσι, ἀροτρεύουσι καὶ φυτεύουσιν, ᾄδουσι καὶ χορεύουσι, χλευάζουσι καὶ καθεύδουσι, καὶ οὐ βλέπουσι σπεύδοντα ἐπ' αὐτοὺς τὸν θάνατον, καὶ ἔχοντα τὸ δρέπανον τὸ κεφαλὰς πάσας τέμνον.

THÈME XXI

Le Printemps.

1. Ἄρτι λειμῶνες χλοάζουσι καὶ λήϊα θάλλει. — 2. Ἄρτι νεοσσεύουσιν οἱ ὄρνιθες ἐν θάμνοις. — 3. Νῦν ἡ χελιδὼν τῆς λίμνης ἐπιψαύουσα πέτεται. — 4. Ἤδη τοῦ κόκκυγος ᾄδοντος ἠκούσαμεν. — 5. Νῦν ᾄδει ἐν ἀνθη-

ραῖς ἀκάνθαις ἡ ὑπολαΐς καὶ συρίζει ὁ κόσσυφος. — 6. Πρωΐ τῆς ἀηδόνος ἐν φιλύραις δασυφύλλοις ᾀδούσης ἠκούσαμεν. — 7. Χθὲς ἐγὼ τρύζοντος ἐν ἄλσει τοῦ τρυγόνος ἤκουσα. — 8 Πῶς οὐ καταλείπεις τῆς πόλεως τὸν κονιορτόν; Ἥκων ἀπόλαυε σὺν ἡμῖν τοῦ ἔαρος ἐν νάπαις, ἐν πέτραις, ἐν λείμωσι καὶ ἐν ἄγροις.

THÈME XXII

Frater ad Sororem.

Ἀδελφὴ, βλέπεις ἐν θάμνῳ τούτῳ νεοσσιάν; Δεῦρο σῖγα προσέρπε. Μὴ θιγῆς · ἐπῳάζει ἡ μήτηρ. Ἀλλ' ἰδοὺ ἀναπέτεται. Ὠα ἔχει ἡ νεοσσιὰ τέσσαρα κυάνεα. Τέςσαρες ἐντεῦθεν ὄρνιθες καλαί τε καὶ μουσικαὶ ἤδη μέλλουσιν ἐκκολάπτεσθαι καὶ ἐκπέτεσθαι. Μετ' ὀλίγον αὐτὰς ἀκούσομεν ᾠδαῖς καταφωνούσας τὸν ἡμέτερον κῆπον καὶ τοὺς πέριξ ἄγρους.

THÈME XXIII

Soror ad Fratrem.

Ἀδελφὲ, βλέπεις τὸ ἀρνίον τοῦτο ἔγγυς τῆς κρήνης; Οὔπω κείρει μὲν αὐτὸ τὴν πόαν ἁβρῷ στόματι, θηλάζει δὲ τῆς μητρὸς τὸν μαστὸν καὶ γλυκὺ πίνει γάλα. Φιλεῖ μὲν τὸ τέκνον ἡ μήτηρ, αὐτὸ δὲ τὴν μητέρα. Τὴν φώνην αὐτῆς ἀκούει, αὐτῇ ἕπεται, καὶ ἐν αὐτῆς τῷ κόλπῳ καθεύδει Ὦ ποιμὴν, φύλασσε καὶ σῶζε τὸν ἀμνὸν καὶ τὴν αὐτοῦ μητέρα. Μὴ λύκος αὐτῇ ποτε καὶ τῷ τέκνῳ αὐτῆς πελάζῃ.

CORRIGÉS

DES

THÈMES GRADUÉS

SUR LA

GRAMMAIRE GRECQUE

EXERCICES PRÉLIMINAIRES

THÈME I

Première déclinaison.

1. Ἡ μὲν φιλία ἐστὶ ζωὴ τῆς καρδίας, ἡ δὲ ἀλήθειά ἐστι ζωὴ τῆς ψυχῆς.

2. Φεῦγε, ὦ νεανία, τὴν ἁμαρτίαν ὡς ἔχιδναν.

3. Τὰς μὲν τῶν μαθητῶν ἁμίλλας φιλοῦσιν αἱ Μοῦσαι, τὰς δὲ μάχας τῶν στρατιωτῶν φρίττουσιν.

4. Οἱ κλέπται, οἱ ψεῦσται καὶ οἱ πλεονέκται μισοῦσι τὰς φωνὰς τῶν προφητῶν ὡς φωνὴν βροντῆς.

THÈME II

1. Οἱ ἀρόται φιλοῦσί τὴν ὁμιλίαν τῶν ἀροτῶν, καὶ οἱ ναῦται τὴν τῶν ναυτῶν, καὶ οἱ στρατιῶται τὴν τῶν στρατιωτῶν · οἱ δὲ ψεῦσται μισοῦσι τὴν ὁμιλίαν τῶν ψευστῶν, οἱ δὲ ἀδολέσχαι τὴν τῶν ἀδολεσχῶν.

2. Αἱ Μοῦσαι φιλοῦσι τὰς ᾠδὰς τῶν ποιητῶν, στυγοῦσι δὲ τὴν κραυγὴν τῆς κορώνης.

3. Τοῖς μὲν δικασταῖς ἡ δικαιοσύνη πρέπει, τοῖς δὲ ἀθληταῖς ἡ ῥώμη, τοῖς δὲ μαθηταῖς ἡ σιγή. — 4. Πάντας τοὺς πολίτας οἱ μὲν ἀρόται τρέφουσιν, οἱ δὲ στρατιῶται φυλάττουσιν.

5. Ὦ ποιητὰ, τὸν δεσπότην ᾆδε τῆς οἰκουμένης.

DEUXIÈME DÉCLINAISON

THÈME III

1. Ὁ ὕπνος ἐστὶν ἀδελφὸς τοῦ θανατου. — 2. Ὁ λιμός ἐστιν ἐφημερινὴ νόσος. — 3. Τὸν ὄκνον εἶδον εἶς τὸ γυμνάσιον προσέρποντα · θηρίον ἐστὶ ῥυπαρὸν, αἰσχρόν τε καὶ ὀλέθριον.

4. Ἡ εὐσέβεια τοῖς νεανίαις ἐστὶ κόσμος εὐπρεπὴς, ὥσπερ στέφανος δάφνης περὶ τοὺς κροτάφους. — 5. Στενή ἐστιν ἡ θύρα τῶν οὐρανῶν. — 6. Ὀρθία μὲν πρῶτόν ἐστιν ἡ ὁδὸς τῆς ἀρετῆς, ἔπειτα δὲ λεία.

THÈME IV

1. Ἡ εὐφορία τῆς Αἰγύπτου δῶρόν ἐστι τοῦ Νειλου. Οὗτος γὰρ ὁ ποταμὸς ὅλην τὴν χώραν ἄρδων πιαίνει. — 2. Πείθεσθε, ὦ νεανίαι, τοῖς νόμοις τοῦ Θεοῦ. — 3. Οἱ Ἄγγελοι τὰς τῶν ἀνθρώπων φυλάττουσι ψυχάς.

4. Ἔργῳ χαλεπῷ μεγάλη δόξα ἕπεται.

5. Ἴοις ἤδη τὴν στήλην ἐκόσμησα τῆς παρθένου Μαρίας · καὶ νῦν ἔτι κρίνα καὶ ῥόδα ἐν τῳ κήπῳ δρεψάμενος τῇ παρθένῳ Μαρίᾳ παρέξω.

6. Ὦ Πέρσα, μάτην διώρυξας τὸν Ἄθω, μάτην τοὺς νεὼς ἐνέπρησάς τῆς Ἑλλάδος, μάτην τούς οἴκους τε καὶ τὰ τείχη κατέσκαψας τῶν Ἀθηνῶν . οἱ γὰρ πολῖται σώζονται εἰς τὴν θάλασσαν.

7. Οἱ Ἀθηναῖοι ἀπέκτειναν τὸν Ἀνδρόγεων · ὁ δὲ

Ἀνδρόγεως ἦν υἱὸς τοῦ Μίνω. Νικήσας δὲ ναυμαχίᾳ τοὺς Ἀθηναίους ὁ Μίνως, ὁ λεγόμενος δίκαιος, ἠνάγκασε τελεῖν ἑαυτῷ φόρον ἀνόσιον, ἑπτὰ παῖδας τῷ Μινοταύρῳ τροφὴν γενησομένους.

TROISIÈME DÉCLINAISON

THÈME V

1. Λιγυρά ἐστιν ἡ γλῶσσα τῶν Ἑλλήνων. — 2. Αἱροῦνται οἱ λαγῴ ὑπὸ τῶν ἀλωπέκων τότε μὲν δρόμῳ, τότε δὲ καὶ τέχνῃ. — 3. Σταγόνες ὕδατος πέτρας κοιλαίνουσι, καὶ σοφῶν ῥήματα σωφρονίζει τὰς ἀνοήτων καρδίας.

4. Γυναιξὶ κόσμον ἡ σιγὴ φέρει, ὡς ἁρμόδιον οὕτω σπάνιον. — 5. Οἱ σπουδαῖοι τῶν μαθητῶν τὰ βιβλία Ξενοφῶντος ἡδέως ἀναγινώσκουσιν. — 6. Οἱ ἐλέφαντες ὀῤῥωδοῦσι τοὺς δράκοντας. — 7. Ἀεὶ μέριμναι τείρουσι τῶν ἀνθρώπων τὰς φρένας. — 8. Αἰδήμονες νεανίαι τοῖς γέρουσιν εἴκουσι τῆς ὁδοῦ.

9. Οἱ κόλακες τοῖς κόραξιν ἐοίκασι · τὰ γὰρ τῶν ἐκθηρευθέντων ὄμματα λυμαίνονται.

THÈME VI

1. Χάρις χάριν τίκτει, καὶ ἔρις ἔριν. — 2. Κούφαις ἐλπίσι τέρπονται ὡς οἱ μείρακες, οὕτως οἱ γέροντες

3. Οἱ μὲν ἵπποι ἐλαύνονται μάστιξιν, αἱ δὲ τῶν νέων φρένες ἐπαίνοις

4. Εἰσὶ μὲν τέττιγες τέττιξι φίλοι, καὶ μύρμηξι μύρμηκες, καὶ μέλισσαι μελίσσαις, καὶ οἰσὶν οἶες, καὶ χελιδόσι χελιδόνες, καὶ δελφῖσι δελφῖνες, καὶ βουσὶ βόες, καὶ ποιμέσι ποιμένες.

5. Ἀλλὰ τί δήποτ' οὐκ εἰσὶ λέουσι λέοντες φίλοι, οὔτε βασιλεῦσι βασιλεῖς; οὔτε θωσὶ θῶες, οὔτε πένησι πένητες;

οὔτε λύκοις λύκοι, οὔτε φιλοσόφοις φιλόσοφοι; οὔτε τίγρισι τίγριδες, οὔτε ῥήτορσι ῥήτορες; οὔτε ἀηδόσιν ἀηδόνες, οὔτε ποιηταῖς ποιηταί;

6. Οὐκ ἔστιν ὁ φθόνος αἴτιος.

NOMS CONTRACTÉS

THÈME VII

1. Αἱ Ἀμαζόνες ποδήρεις ἐφόρουν χιτῶνας. — 2. Τῶν συντυχόντων ἤθη μὴ κρῖνε ταχέως · ἤθους γὰρ βάσανός ἐστι τοῖς ἀνθρώποις ὁ χρόνος.

3. Οἱ μὲν ὄφεις τὸν ἰὸν ἐν τοῖς ὀδοῦσιν ἔχουσιν, οἱ δὲ φθονεροὶ ἐν τῇ γλώσσῃ. — 4. Οὐ τέλος, ἀλλ' ἀρχὴ θλίψεως τοῖς ἀδίκοις ἐστὶν ὁ θάνατος.

5. Τίμα τοὺς γονεῖς. Οὐαὶ τῷ μὴ σεβομένῳ τοὺς γονέας! — 6. Κάτοπτρον μὲν ὄψεώς ἐστι χαλκὸς λεῖος, οἶνος δὲ νοῦ.

7. Ἀνάχαρσις τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς, τὸν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν τρίτον ἀηδίας. — 8. Δημήτριος ὁ Πολιορκητὴς ᾕρει τὰς πόλεις κατασείων τὰ τείχη, Τιμόθεος δὲ τοὺς ἐνοικοῦντας πείθων.

9. Ἄγκιστρον δελέατι κεκαλυμμένον ἀγρεύσει ἰχθῦς · καὶ βίβλος ἡδὺν παρέχουσα πόνον τοὺς μαθητὰς φιλεργοὺς ποιήσει.

THÈME VIII

1. Ἀπ' ἔθνους εἰς ἔθνος ἡγεμονία μετάγεται διὰ τὰς ἀδικίας τῶν λαῶν καὶ τὰς ὕβρεις τῶν βασιλέων. — 2. Τῶν ἐν γήρᾳ κακῶν φάρμακόν ἐστι χεῖρον τῷ ἀσεβεῖ ὁ θάνατος. — 3. Οἱ σοφοὶ τῶν ἀνδρῶν οὐ διαμείβονται χρήμασι τὴν ἀρετήν.

4. Ἔοικε φαύλῳ βραβεῖ ἡ τύχη · πολλάκις γὰρ τὸν μηδὲν πράξαντα στεφανοῖ.

5. Ἐπιεικῶς λάλον ἐστὶ τὸ τῶν κουρέων γένος. Ἀδολέσχου ποτὲ κουρέως ἐρωτήσαντος Ἀρχέλαον, Πῶς σε κείρω βασιλεῦ; — Σιωπῶν, ἔφης.

6. Τὴν κιβωτὸν ἐποίησε Νῶε τριακοσίων πήχεων τὸ μῆκος. — 7. Δημάδης ἔλεγε τὴν αἰδῶ τοῦ κάλλους εἶναι ἀκρόπολιν.

NOMS SYNCOPÉS

THÈME IX

1. Στέργε τὸν πατέρα καὶ τὴν μητέρα. — 2. Μὴ δούλευε γαστρί. — 3. Πείθεσθε, ὦ νεανίαι, τοῖς πατράσι καὶ ταῖς μητράσιν ὑμῶν. — 4. Γίγνεται ἐξ ἀγαθοῦ πατρὸς ἀγαθὸς υἱός, φύονται δὲ γενναίων ἐκ μητέρων γενναῖαι θύγατρες.

5. Σὺ μὲν φεύγεις τοὺς ὄφεις, ὡς ἰοβόλους, ἐγὼ δὲ καὶ τοὺς ἀσελγεῖς, ὡς διαφθορέας τῶν ἀρετῶν.

EXERCICES SUR TOUTES LES DÉCLINAISONS

THÈME X

1. Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος. — 2. Οὔτε τὸν ἄῤῥωστον ὠφελεῖ χρυσῆ κλίνη, οὔτε τὸν ἀνόητον ἐπίσημος εὐτυχία. — 3. Δόξα καὶ πλοῦτος, ἄνευ συνέσεως, οὐκ ἀσφαλῆ κτήματα.

4. Κλεάνθης ἔλεγε τοὺς ἀπαιδεύτους μόνη τῇ μορφῇ τῶν θηρίων διαφέρειν. ἀλλ' ἐγὼ τὸν ἀπαίδευτον ἄνδρα καὶ ἄμουσον κρείσσονα λέγω παντὸς ὑπερηφάνου σοφιστοῦ.

5. Τῶν ζώων ἑκάστῳ ὅπλον τι Θεὸς ἔνειμε, λέουσιν ἀλκὴν καὶ ὀδόντας, ταύροις κέρατα, μελίσσῃ κέντρον, ἀνδρὶ λόγον καὶ σοφίαν.

THÈME XI

1. Ποθεῖ ἄνθρωπος νύκτα μεθ' ἥλιον, καὶ ὀπώραν μετὰ θέρος, καὶ πόλιν μετ' ἀγρὸν, καὶ λιμὸν μετὰ κόρον, καὶ μετὰ τὴν μέθην δίψαν, καὶ μετὰ τὴν ἀνάπαυσιν τὸν πόνον. — 2. Παρὰ τῷ Ἅδῃ κολάζονται πάντες οἱ κακοὶ, κύριοί τε καὶ δοῦλοι, σατράπαι τε καὶ ἁλιεῖς, πένητες καὶ πλούσιοι, βασιλεῖς, ῥήτορες, σοφισταί.

3. Ἄμμον θαλάσσης, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει; — 4. Οὐ θέμις Χριστιανοῖς ἀνάγκῃ καὶ βίᾳ καταστρέφειν τὴν πλάνην τῶν ἀσεβῶν, ἀλλ' ἔξεστι καὶ πειθοῖ καὶ λόγῳ καὶ προσηνείᾳ τὴν τῶν ἀνθρώπων κατεργάζεσθαι σωτηρίαν. (S. Chrys. II. 540.)

ADJECTIFS

THÈME XII

1. Ἐγγὺς Ἰταλίας κεῖται Σικελία, νῆσος εὐρεῖά τε καὶ εὐδαίμων καὶ πολυάνθρωπος. — 2. Ἐστὶ μὲν βραχὺς ὁ βίος, μακρὰ δὲ πᾶσα τέχνη μανθάνειν.

3. Ἡδονῆς κακῆς βραχεῖα τέρψις.

4. Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον. — 5. Τὸ μέλλον ἀσαφές. — 6. Τὸν πλούσιον ἀμαθῆ Διογένης ἔλεγε πρόβατον εἶναι χρυσόμαλλον.

7. Ὕπνος οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος πρόσκαιρος καὶ ἐφήμερος τέλευτή. (S. Chrys. t. IV, p. 763, b.

8. Ἔστιν οἰκεῖος τῇ γῇ κόσμος, λήϊα ταῖς κοιλότησιν ἐγκυμαίνοντα, λειμῶνες χλοάζοντες καὶ ποικίλοις ἄνθεσι βρύοντες, νάπαι εὐθαλεῖς, καὶ ὀρῶν κορυφαὶ ταῖς ὕλαις κατάσκιοι. (S. Bas. *Hex.* II, 8.)

THÈME XIII

1. Οἱ ἄγροικοι ὑφ' ἡδονῆς διηνεκοῦς οὐ συνίενται τῆς

εὐτυχίας. — 2. Ἀριστοτέλης ἔφη τῆς παιδείας τὰς μὲν ῥίζας εἶναι πικρὰς, γλυκεῖς δὲ τοὺς καρπούς · ὅπερ ἐστὶν ἀδελφὸν τῷ τοῦ μακαρίου Παύλου · Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης · ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' ἑαυτῆς γεγυμνασμένοις ἀποδίδωσι. (Hebr. XII, 11.

3. Οὔτε πάντες πένητες ἄθλιοι, οὔτε πάντες πλούσιοι εὐδαίμονες. — 4. Μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου · πολλαὶ γάρ εἰσιν αἱ ἐνέδραι τοῦ δολίου. (Eccli. XI, 31.

5. Εἰ τοὺς παῖδας οἱ διδάσκαλοι, ὄντας λάλους καὶ ἀχαρίστους καὶ τραχεῖς, ὅμως φιλοῦσι, πῶς οὐκ ἂν αὐτοὺς ἀγαπῷεν σιγηλοὺς, ἐπιεικεῖς, εὐγνώμονας.

COMPARATIF ET SUPERLATIF

THÈME XIV

1. Οὐδὲν ὀργῆς ἀδικώτερον · τὸν γὰρ Θεὸν ἐφυβρίζει. καὶ τοὺς ἀνθρώπους, μάλιστα δὲ τὸν ὑπ' αὐτῆς ἐχόμενον.

2. Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

3. Πιστότερά ἐστι τῶν φίλων τραύματα ἢ τῶν ἐχθρῶν φιλήματα.

4. Οὐδὲν κτῆμα σοφίας τιμιώτερόν ἐστι. — 5. Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερόν ἐστιν, οὐδὲ βεβαιότερον.

6. Ὁ τὸν Θεὸν ἔχων μεθ' ἑαυτοῦ πάντων ἐστὶν ἰσχυρότερος καὶ ἀνθρώπων καὶ δαιμόνων. (S. Chrys. t. IV, p. 782, b.). — 7. Νεκρός ἐστιν ἔμψυχος ὁ μεθύων, καὶ ψιλῇ θεωρίᾳ πάντων ἐστὶν ἀηδέστερος, δυσωδίας πνέων. (S. Chrys. II, 7, d.)

THÈME XV

1. Χρὴ σιγᾶν, ἢ κρείσσονα σιγῆς λέγειν. — 2. Δύο

μὲν ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν.

3. Τῶν ὄντων κάλλιστον ἐστιν ὁ κόσμος, ποίημα γὰρ Θεοῦ · μέγιστον ὁ τόπος, πάντα γὰρ χωρεῖ · σοφώτατον ὁ χρόνος, πάντα γὰρ ἀνευρίσκει. — 4. Ὁ κροκόδειλος ἐξ ἐλαχίστου γίγνεται μέγιστος · τούτου μὲν γάρ ᾠὸν οὐ μεῖζόν ἐστι χηνείου, αὐτὸς δὲ γίγνεται ἑπτακαιδεκάπηχυς.

5. Εἰπέ μοι, ὦ βέλτιστε, ἁγίου βίου τί ἐστιν ἄμεινον; — Ἅγιος θάνατος. — Καλῶς εἶπας.

PRONOMS

THÈME XVI

1. Δημήτριος εἶπε τῷ Νέρωνι · Σὺ μὲν ἀπειλεῖς ἐμοὶ τὸν θάνατον, σοὶ δὲ αὐτῷ ἡ φύσις.

2. Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε · σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι, ἠρώτα · Σὺ ἀπέθανες ἢ ἀδελφός σου ; — 3. Σχολαστικὸς ἀπορῶν, τὰ βιβλία αὐτοῦ ἐπίπρασκε, καὶ γράφων πρὸς τὸν πατέρα ἔλεγε · Σύγχαιρε ἡμῖν, πάτερ· ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει.

4. Ἡμᾶς ὥσπερ ἑαυτοῦ τέκνα φιλεῖ ὁ Θεὸς, καὶ ὄντως ἡμεῖς τέκνα ἐσμὲν αὐτοῦ, ἀλλ' ἡμῶν τὴν κακίαν μισεῖ.

THÈME XVII

1. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς ὑπό τινος, τί ἐστι πολεμιώτατον ἀνθρώποις ; « Αὐτοὶ, ἔφη, ἑαυτοῖς. »

2. Κριτὴς ὢν, ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε, οὐδὲν πρὸς χάριν ποιῶν.

3. Βούλου ἀρέσκειν πᾶσι, μὴ σεαυτῷ μόνον.

4. Ἐὰν μὴ σεαυτοῦ κρατῇς, ἐλεύθερος οὐκ ἔσῃ ποτε · ἐλεύθερος γὰρ οὐχ ὅστις μηδένα δεσπότην ἔχει, ἀλλ' ὅστις ἑαυτοῦ τὴν καρδίαν μόνῃ τῇ σοφίᾳ ἐδούλωσεν.

5. Ἑαυτὸν μισεῖ ὁ φθονερός · καὶ τῷ φθόνῳ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσιν ἐστιν. (Isocr. *Evag.* 2.)

VERBES

THÈME XVIII

Λύω.

1. Ὁδὼ δύο εἰς τὸ τῆς Ἑλλάδος μουσεῖον φέρετον · ἡ μὲν λεία διὰ λειμώνων ἄνθεσι βρυόντων ἄγουσα, καὶ πεδίων ἐλαίαις τε καὶ δάφναις καὶ μύρτοις πεποικιλμένων· ἡ δὲ ἀνάντης καὶ τραχεῖα δι' ἀκανθῶν καὶ φαράγγων πολλῶν καὶ κρημνῶν. Ἡ πρώτη μέντοι οὐ μόνον ἐστὶ καλὴ καὶ ἡδεῖα τῷ βαδίζοντι, ἀλλὰ καὶ σύντομος · ἡ δὲ δευτέρα οὐ μόνον ἐστὶ χαλεπὴ καὶ ἱδρῶτος πλήρης τῷ ἀνερπύζοντι, ἀλλὰ καὶ μακρά. Διὰ ποτέρας οὖν, ὦ φίλε, βούλει σε ὁδηγήσω;

2. Οἱ πολῖται τοὺς νόμους φυλαττόντων, καὶ οἱ νόμοι φυλάξουσι τοὺς πολίτας.

3. Ὁ τῶν ἁγίων γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων. — 4. Νέος ὢν πολλὰ χρηστὰ μάνθανε.

5. Παρθένος ὑδρίαν φοροῦσα ἐπὶ τὸ φρέαρ ἐβάδιζεν. Ὁ δὲ οἰκέτης Ἀβραάμου εἶπεν αὐτῇ· Δὸς ἐμοὶ πίνειν, ὦ κόρη. Ἡ δὲ σπεύδουσα ἤρυσεν ὕδωρ ἐκ τοῦ φρέατος καὶ ἔδωκε πίνειν αὐτῷ τε τῷ ξενῷ καὶ ταῖς αὐτοῦ καμήλοις. Καὶ τότε ὁ πρεσβύτης ἐπυνθάνετο τίς εἴη καὶ τίνων γονέων. Ῥεβέκκα μὲν, φησίν, ἐγὼ καλοῦμαι, πατὴρ δ' ἐμοὶ Βαθούηλος.

THÈME XIX

1. Οὐδὲν ὄφελος τῆς εὐμορφίας, ὅταν τις μὴ φρένας ἔχῃ.

2. Ἀντίλοχος ὁ Νέστορος δακρύων εἶπεν· Ὦ Ἀχιλλεῦ, πεύσῃ μάλα λυγρῆς ἀγγελίας· Πάτροκλον Ἕκτωρ πεφόνευκεν.

3. Πάντων ὁμηλίκων, ὦ παῖ, ἠρίστευσας· ὅπερ οὔτε σὺ, οὔτε ἡμεῖς ἠλπίζομεν. Ἀπόδος οὖν χάριν τῷ Θεῷ τῷ δόντι τὴν νίκην· ἐξ αὐτοῦ γὰρ ἥκουσιν ἡ σοφία καὶ τὸ κράτος. — 4. Καλὸν μὲν βίον ἧρησαι· οὐχ ἅλις δ' ἑλέσθαι, ἀλλὰ δεῖ τὸν τὴν εὐσέβειαν ᾑρημένον ταύτῃ ἐμμένειν. — 5. Ἑταῖρος ἑταίρου φροντιζέτω, καὶ ἕτερος ἕτερον σώσει.

THÈME XX

1. Σύμβολον ἦν πάλαι ἓν νόμισμα κατεαγμένον, οὗ τὰς δύο μερίδας οἱ ξένοι συνέβαλλον ὡς τεκμήριον τῆς ξενίας. — 2. Ἔθαπτον οἱ Αἰγύπτιοι τοὺς νεκροὺς ταριχεύοντες, οἱ Ῥωμαῖοι δὲ καίοντες.

3. Οἱ ἄνθρωποι τὸν θάνατον διώκουσι καὶ φεύγοντες.

4. Ἐπὶ νεκρῷ τοῦ ἐφυβρίσαντός σε μὴ ἐπιχαίροις, ἀλλὰ μέμνησο ὅτι πάντες ἄνθρωποι τελευτῶμεν.

5. Θεμιστοκλῆς τε καὶ Ἀριστείδης, ὄντε παῖδε, ἤδη ἐστασιαζέτην.

6. Τὰ τέκνα εὖ πεπαιδευκὼς, ὦ φίλε, οὐκ εἶ ἀνὴρ τῶν πενήτων οὐδὲ τῶν ταπεινῶν· τέκνα γὰρ εὖ πεπαιδευμένα κόσμος ἐστὶ καὶ πλοῦτος μέγας.

7. Οὐ μόνον ἑαυτῷ ὁ χρηστὸς ἀνὴρ, ἀλλὰ καὶ τοῖς ἐκγόνοις ἐφύτευσεν. — 8. Οἰκοδόμησον μὲν βραδέως, ὦ γεωργὲ, φύτευσον δὲ ταχέως.

THÈME XXI

1. Σωκράτης οὐχ ἱκέτευσε τοὺς δικαστὰς, ἀλλὰ πιστεύσας τῇ ἑαυτοῦ ἀβλαβείᾳ τὸν ἔσχατον ἐκινδύνευσε κίνδυνον, ἀνὴρ ὄντως σοφὸς καὶ μέγας εἰ τὸν Θεόν, ὃν λέγεται ἐπιγνῶναι, ὡς Θεὸν δοξάσειεν.

2. Ἡ πόλις τῶν Ῥωμαίων λέγεται κίνδυνον μὲν κινδυνεῦσαι μέγαν ἐκ τοῦ Πορσέννα, μείζονα δ' ἐκ τοῦ Βρέννου, πάντων δὲ μέγιστον ἐκ τῶν ἀμφὶ Κατιλίναν.

3. Ἐμπέφυκε πᾶσιν ἀνθρώποις ἡ τῆς εὐδαιμονίας ἐπιθυμία.

THÈME XXII

Passif et Moyen.

Λύομαι.

1. Πάτροκλος μὲν ὑπὸ χερσὶν Ἕκτορος ἐδμήθη, Ἕκτωρ δ' ὑπ' Ἀχιλλέως κατεβλήθη, Ἀχιλλεὺς δ' ὑπὸ Πάριδος ἐτοξεύθη. Ὁ γὰρ φονεύων φονευθήσεται.

2. Ἀκούομεν τὸν Ἀλέξανδρον ὑπ' Ἀριστοτέλους παιδευθῆναι, τοσούτου διδασκάλου ἄξιον μαθητήν.

3. Περὶ πατρίδος γενναίως μαχώμεθα. — 4. Ἀνὴρ ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον. — 5. Εἴθε πᾶσαν μεθιέντες ὀργὴν βουλεύοισθε! — 6. Ἐὰν βούλῃ καλῶς πράττειν, ἐργάζου.

7. Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

8. Βραχὺν χρόνον ἀναπαυσάμενοι, κάλλιον ἐργάσεσθε.

9. Εἰ ἐθεάσω ἅπερ ἐγὼ ἐθεασάμην, οὐκ ἂν ἐπαύσω δακρύων.

10. Εἰ ὁ Χριστὸς ἐστὶν ὑμῶν ὁ νομοθέτης καὶ ὁ ἡγεμὼν καὶ ὁ Θεός, αὐτῷ πείθεσθε, αὐτῷ ἕπεσθε, αὐτὸν μόνον προσκυνεῖτε.

THÈME XXIII

Verbes contractés.

Φιλέω.

1. Ὁ φιλῶν παιδείαν φιλεῖ σοφίαν, ὁ δὲ μισῶν ἐλέγχους ἄφρων (Prov. 12, 1). — 2. Νόει, καὶ τότε πρᾶττε.

3. Πολλοὶ δοκοῦντες ἑαυτοὺς φιλεῖν οὐκ ἀληθῶς

φιλοῦσι. — 4. Τὴν Σικελίαν πάλαι τὸ ταμεῖον Ῥώμης ἐκάλουν οἱ Ῥωμαῖοι. — 5. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. — 6. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον.

7. Ἔστι κρείττων εἷς ποιῶν τὸ θέλημα τοῦ Θεοῦ ἢ μυρίοι παράνομοι (S. Chrys. I, 1, a).

THÈME XXIV

Τίμάω.

1. Ἡ συνήθεια κόρον γεννᾷ · οἰκοῦντες γῆν ζητοῦμεν θάλασσαν, καὶ πλέοντες πάλιν περισκοποῦμεν τὸν ἀγρόν.

2. Ὁ μωρὸς, κἄν τι μὴ γελοῖον ᾖ, γελᾷ. — 3. Ἀναξαγόραν φασὶ μὴ γελῶντά ποτε ὀφθῆναι, μηδὲ μειδιῶντα.

4. Ἡδέως ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις.

5. Οὕτω πειρῶ ζῆν ὡς ὀλίγον χρόνον βιωσόμενος.

6. Ὁ Περικλῆς Ἀθήνησι δημηγορῶν ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα. — 7. Ἃ μέλλεις ποιεῖν μὴ πρόλεγε πᾶσι · γελασθήσει γὰρ ἂν ἀποτύχῃς.

THÈME XXV

Δηλόω.

1. Ὀδυσσεὺς τὸν Κύκλωπα μεθύσας ἐξετύφλωσε. — 2. Παρὰ τοῖς Ἰνδοῖς ὁ τεχνίτου πηρώσας ὀφθαλμὸν ἢ χεῖρα, θανάτῳ ζημιοῦται. — 3. Ὁ Πλάτων πρός τινα τῶν παίδων, « Ἐμεμαστίγωσο ἄν, ἔφη, εἰ μὴ ὠργιζόμην. »

4. Ἅπαντές ἐσμεν χείρονες ἢ βουλοίμεθ' ἄν ·
Βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

5. Υἱῶν οἴκους πατρὸς εὐλογία στηρίζει, κατάρα δὲ μητρὸς ἐκριζοῖ (Eccli. III, 11).

RÉCAPITULATION

THÈME XXVI

Élie.

1. Ἠλίας καὶ Ἐλισσαῖος οἱ προφῆται ἅμα λαλοῦντες ἔϐαινον παρ' ὄχθας Ἰορδάνου. — 2. Ἐξαίφνης ἅρμα φλογερὸν καὶ ἵπποι πυρὸς ἁρπάζουσι τὸν Ἠλίαν εἰς οὐρανόν. — 3. Ἐϐόα μὲν Ἐλισσαῖος « Πάτερ μου! πάτερ μου! » ἀφανίζεται δ' Ἠλίας. — 4. Τότε λαμϐάνει Ἐλίσσαιος τὴν μηλωτὴν Ἠλίου, καὶ αὐτῇ πατασσει τὸν Ἰορδάνην · αὐτίκα σχίζεται τὸ ὕδωρ καὶ τὸν ποταμὸν διαϐαίνει ὁ προφήτης.

THÈME XXVII

Ἀλώπηξ καὶ Βότρυς.

1. Ἀλώπηξ ὁρῶσα ϐότρυας πεπείρους ἐπί τινος ἀναδενδράδος, κατεσθίειν αὐτοὺς ἐπεθύμει, καὶ ποσὶ πηδῶσα πολλάκις ὡρμήθη πορφυρεῶν θιγγάνειν σταφυλῶν. — 2. Κάμνουσα δὲ ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν) παρῆλθεν, οὕτω παραμυθουμένη τὴν λύπην · « Ὄμφακες εἰσὶν, » ἔφη.

THÈME XXVIII

Ὄνος καὶ Λεοντῆ.

1. Ὄνος, δορὰν λέοντος ἐνδυσάμενος, λέων ἐνομίζετο πᾶσι. Καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. — 2. Ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη, καὶ γυμνὸς ὁ Ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

3. Πένης καὶ ἰδιώτης ὤν, μὴ μιμοῦ τὰ τῶν πλουσίων · τὸ γὰρ ξένον ἀνοίκειον.

THÈME XXIX

Λύκοι καὶ Κύνες.

1. Οἱ Λύκοι ποτὲ τοῖς κυσὶν εἶπον · « Διὰ τί, ὅμοιοι « ὄντες ἡμῖν ἐν πᾶσιν, οὐχ ὁμοφρονεῖτε ἡμῖν; Οὐδὲν « γὰρ ὑμῶν διαλλάττομεν, πλὴν τῇ γνώμῃ. — 2. Καὶ « ἡμεῖς ἐλευθερίᾳ συζῶμεν · ὑμεῖς δὲ τοῖς ἀνθρώποις « δουλεύοντες πληγὰς παρ' αὐτῶν ὑπομένετε, καὶ κλοιὰ « φέρετε, καὶ τὰ πρόβατα φυλασσέτε · ὅτε δὲ ἐσθίουσιν « αὐτὰ οἱ ἄνθρωποι μόνα τὰ ὀστᾶ ἐπιῤῥίπτουσιν ὑμῖν. « — 3. Εἰ σωφρονεῖτε, ἐν εἰρήνῃ συζήσομεν, πάντα « ποίμνια κοινὰ ἐς κόρον ἐσθίοντες. » — 4. Ὑπήκουσαν μὲν πρὸς ταῦτα οἱ κύνες, καὶ τὰς θύρας ἀνέῳξαν. Οἱ δὲ Λύκοι, ἔνδον τοῦ σπηλαίου εἰσελθόντες, πρότερον τοὺς Κύνας διέφθειραν.

5. Οἱ τὰς ἑαυτῶν πατρίδας προδίδοντες τοιούτους μισθοὺς λαμβάνουσι.

THÈME XXX

Κολοιὸς καὶ Κόρακες.

1. Κολοιός τις μεγέθει τῶν ἄλλων κολοιῶν διαφέρων, ὑπερφρονήσας τοὺς ὁμοφύλους, ἦλθε πρὸς τοὺς Κόρακας, καὶ τούτοις ἠξίου συνδιαιτᾶσθαι. — 2. Οἱ δὲ ἀγνοοῦντες αὐτοῦ τὸ εἶδος καὶ τὴν φώνην, παίοντες αὐτὸν ἐξέβαλον. — 3. Καὶ ὃς ἀπελαθεὶς ἀπ' αὐτῶν, ἧκε πάλιν πρὸς τοὺς κολοιούς. — 4. Οἱ δὲ ἀγανακτοῦντες ἐπὶ τῇ ὕβρει οὐ προσδέχεσθαι αὐτὸν ἠθέλησαν. Οὕτω τε συνέβη αὐτῷ τῆς μέτ' ἀμφοτέρων διαίτης στερηθῆναι.

THÈME XXXI

Λύχνος.

1. Μεθύων λύχνος ἐλαίῳ καὶ φέγγων ἐκαυχᾶτο ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. Ἀνέμου δὲ πνοῆς συριξάσης, εὐθὺς ἐσβέσθη. Ἐκ δευτέρου δὲ ἅπτων τις εἶπεν αὐτῷ, « Φαῖνε, λύχνε, καὶ σίγα · τῶν ἀστέρων φέγγος οὔ ποτε ἐκλείπει. »

2. Οὐ δεῖ τινα ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ τοῦ βίου τυφοῦσθαι · ὅσα γὰρ ἂν κτήσηται, ξενὰ τυγχάνει.

THÈME XXXII

Αἴλουρος καὶ Ἀλεκτρύων.

1. Αἴλουρος συλλαβὼν Ἀλεκτρύονα, τοῦτον ἠβουλήθη μετ' αἰτίας εὐλόγου κατεσθίειν. Καὶ δὴ οὕτω πως κατηγόρει αὐτοῦ · « Ὄχληρος εἶ τοῖς ἀνθρώποις, νύκτωρ κράζων, καὶ μὴ συγχωρῶν αὐτοὺς ὕπνου τυγχάνειν. » — 2. Ὁ δὲ ἀπελογεῖτο · « Ἐγὼ ποιῶ τοῦτο ἐπὶ τῶν ἀνθρώπων ὠφελείᾳ, ἐπὶ τὰ συνήθη τῶν ἔργων αὐτοὺς ἐγείρων. » — 3. Πάλιν ὁ Αἴλουρος αἰτίαν ἐπέφερε· « Τῶν γε μὴν ὀρνίθων, ὁμοιῶν σοι, τυραννεῖς. » — 4. Ὁ δ' ἔφη · « Οὐκ, αλλ' ὑπερμαχόμενος αὐταῖς ἀμύνω. » — 5. Ὁ δὲ Αἴλουρος εἶπεν · « Ἀλλ' εἰ σύ γε πολλῶν εὐπορεις εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐκ ἔσομαι. » Καὶ τοῦτον καθέσθιεν.

THÈME XXXIII

Verbes dont le radical finit par une muette

β, π, φ, πτ.

1. Διογένης λύχνον μεθ' ἡμέραν ἅψας, καὶ ἐρωτηθεὶς τί ποιεῖ, « Ἄνθρωπον, ἔφη, ζητῶ. »

2. Τὰς τῶν νέων καρδίας φόβος ἀνθρώπων σφίγζει, φόβος δὲ Κυρίου τέρψει τε καὶ ἐλευθερώσει.

3. Τέκνα σοὶ ἐστι; παίδευσον αὐτὰ, κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν. (Eccli. 7, 25.)

4. Τὸ μέλλον τοὺς ἀνθρώπους ὁ Θεὸς εὖ ποιῶν ἔκρυψε.

5. Τῷ Ἐπαμινώνδᾳ συνέθαψεν ὁ Θεὸς καὶ τὴν δύναμιν τῶν Θηβαίων.

6. Τὰς τῶν σπουδαίων φιλίας οὐδ' ἂν πᾶς ὁ αἰὼν ἐξαλείψειεν. — 7. Μέλλων ἀποθνήσκειν Ἰάκωβος εἶπεν. Ἰούδα, τὴν στολήν σου νίψεις ἐν τῷ οἴνῳ, καὶ οἱ υἱοί σου νίψουσι τὰς ἑαυτῶν χλαίνας ἐν τῷ αἵματι τῶν σταφυλῶν. — 8. Ἥφαιστος ὑπὸ τοῦ Διὸς ἐξ Ὀλύμπου ῥιφθεὶς καὶ ἐπὶ γῆς πεσὼν, ἐγένετο χωλός · ἄθλιος μὲν θεὸς ἐκ τῆς φύσεως, ὅτι αἰσχρὸς τὴν ὄψιν · ἀθλιώτερος δ' ἐκ τοῦ πατρὸς, ὅτι χωλός · ἀλλὰ πάντων γε ἀθλιώτατος ἐκ τῆς αὐτοῦ προαιρέσεως, ὅτι τὴν Ἀφροδίτην ἔγημεν.

THÈME XXXIV

γ, κ, χ.

1. Ὁ μὲν συνεχὴς πόνος χαλεπὸς, ὁ δὲ μεταλλαχθεὶς ἡδύς. — 2. Ἔλπιζε, τιμῶν τοὺς γονέας, πράξειν καλῶς.

3. Ἤπιος μῦθος καὶ τὸν ἄφρονα πολλάκις ἔθελξεν.

4. Οἱ πολέμιοι, ἐν πεδίῳ τετραμμένοι, ἐδιώχθησαν εἰς τὰ ὄρη. — 5. Πολλὰ τῶν ἀνελπισθέντων ἤδη πέπρακται.

6. Οὔτε τὸ φῶς ἔσται σκότος ποτὲ, οὔτε ἡ τῶν παρὰ τοῖς Χριστιανοῖς τετελεσμένων σημείων ἀλήθεια διελεγχθήσεται · ἀλήθεια γάρ ἐστι, ταύτης δὲ ἰσχυρότερον οὐδέν. (S. Chrys.)

7. Ὁ Σαρδανάπαλος ἐκεῖνος, ὁ τὰς παρειὰς ἐντετριμμένος, καὶ τὴν χαίτην διαπεπλεγμένος, καὶ ἐν βασιλείοις κατακεκλεισμένος, οὐδὲν ἄλλο ἐδίωκεν ἢ εὐδαιμονίαν καὶ

ἡδονήν. Ἀλλὰ μετὰ βραχεῖαν τρυφὴν αἰσχρᾶς ἔτυχε τελευτῆς, καὶ μνήμην ἔλιπεν αἰσχροτέραν.

THÈME XXXV

θ, τ, θ, ζ.

1. Ὁ Θεὸς, τὰ πάντα κτίσας συνήρμοσεν ἀλλήλοις, καὶ τὸν κόσμον ἀνύσας εὐλόγησεν. — 2. Ἐν τοῖς τοῦ Δράκοντος νόμοις μία πᾶσιν ἁμαρτήμασιν ὥριστο ζημία, θάνατος.

3. Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, και οἶκος επ' οἶκον πίπτει. (Luc. XI, 17.)

4. Οἱ μὲν δαίμονες τοὺς θεραπεύοντας αὐτοὺς καὶ τιμῶντας τῶν οἰκείων παίδων γενέσθαι σφαγέας ἠνάγκασαν · ὁ δὲ Χριστὸς τοὺς μισοῦντας αὐτὸν τοιαύτης ἀπήλλαξε τυραννίδος. (S. Chrys. II, 538, a.)

5. Λούκουλλος ὁ Ῥωμαίων στρατηγὸς, ὁ τὸν Μιθριδάτην καταγωνισάμενος πρῶτος διεκόμισεν εἰς Ἰταλίαν τὸν κέρασον.

6. Ἡ μοῖρα βασιλεῦσιν ἐλάσσονας ἢ ποιμέσιν ἔκλωσεν ἡμέρας.

THÈME XXXVI

Verbes dont le radical finit par une liquide

1. Κάδμος ἀπέκτεινε δράκοντα, καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρε. Τούτων δὲ σπαρέντων, ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι. — 2. Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ. Βούλει αὐτὸ κρύψαι ; ὁμολόγησον τῷ ἱερεῖ.

3. Τίς ἐπίστευσε Κυρίῳ, καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελείφθη (Eccli. 2)?

4. Ὁ τιμῶν τὸν πατέρα ὑπὸ τῶν τέκνων εὐφρανθήσεται, καὶ ὁσάκις προσεύξεται τῷ Θεῷ εἰσακουσθήσεται

(Eccli. 3). — 5. Πολλοὺς ἀπώλεσε τὸ χρυσίον, πολλῶν βασιλέων ἐξέκλινε τὰς καρδίας. (Eccli. 8.)

6. Οἱ ἀσεβεῖς (ὡς τὸ κώνειον ἢ τὸ ἀκόνιτον, καὶ εἴ τις ἄλλη ἀνδροφόνος βοτάνη) πρὸς ὀλίγον ἀνθήσαντες, ταχὺ ἀποξηρανθήσονται. (S. Bas. Ep. 17.)

THÈME XXXVII

Aoriste 2 et Parfait 2

1. Γλῶσσα προπετὴς ἤγαγε πολλοὺς εἰς ὄλεθρον.

2. Θησεὺς Ἀριάδνην ἐν Νάξῳ καταλιπὼν ἐξέπλευσε.

3. Σχολαστικὸς μαθὼν ὅτι οἱ κόρακες ὑπὲρ τὰ διακόσια ἔτη ζῶσιν, ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφε.

4. Ἅπαξ γεγονότες οὐ δὶς θανούμεθα.

5. Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.

6. Ζήνων ὁ διδάξας ὅτι πάντα εἵμαρται, δοῦλον κλέπτην ἐμαστίγου ποτέ. Τοῦ δὲ εἰπόντος, Εἵμαρτό μοι κλέψαι, « Καὶ δαρῆναι », Ζήνων ἔφη.

7. Βουλόμενος κολυμβᾶν σχολαστικὸς παρὰ μικρὸν ἐπνίγη. Ὤμοσεν οὖν μὴ ἅψασθαι ὕδατος, ἐὰν μὴ πρῶτον μάθῃ κολυμβᾶν.

8. Ἡμεῖς Χριστιανοὶ τόδε σκοποῦμεν, οὐχ ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακόν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἐργασώμεθα κακόν. (S. Chrys. IV, 773, c.)

THÈME XXXVIII

Verbes en MI

1. Ῥᾷον ἐξ ἀγαθοῦ θεῖναί τινα κακὸν ἢ ἐκ κακοῦ μεταθεῖναι ἐσθλόν.

2. Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· Κύον, κύον. Ὁ δέ, Ὑμεῖς ἐστε κύνες, ἀντεῖπεν οἳ ἀριστῶντά με περιεστήκατε.

3. Οἱ Φοίνικες λέγονται τοῖς Ἕλλησι τὰ γράμματα παραδοῦναι.

4. Ἀλήθεια, κἂν μυρίους ἔχῃ τοὺς σβεννύντας αὐτὴν, οὐ μόνον οὐκ ἀφανίζεται, ἀλλὰ καὶ φαιδροτέρα καὶ ὑψηλοτέρα ἄνεισι, τῶν ἐπηρεαζόντων καταγελῶσα. (S. Chrys.)

5. Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους. (Prov. 25.)

THÈME XXXIX

1. Ἀρετὴ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται. — 2. Ὅσον ἐν πολέμῳ δύναται ὁ σίδηρος, τοσοῦτον ἐν πολιτείαις ὁ λόγος ἰσχύει. — 3. Ὁ τὰ τῶν ἄλλων ἁρπάζων οὐκ ἂν πεισθείη ῥᾳδίως ὅτι εἰσὶν ἄνθρωποι καὶ τὰ ἑαυτῶν προέμενοι. Οὕτω καὶ ἅπαξ τις ὑπὸ τῆς ὀργῆς ἁλοὺς οὐκ ἂν ῥᾳδίως πιστεύσειεν ὅτι ἐστὶν ἄνθρωπος οὕτω τοῦ πάθους περιγενόμενος ὡς τὸν ἀδικοῦντα σώζειν.

4. Οἱ ἐπίσκοποι τῆς Ἀσίας Ἰουλιανῷ τῷ ἀποστάτῃ λόγον ἐπεπόμφεσαν περὶ τῆς τῶν Ἑλλήνων θρησκείας. Ἀλλ' ἐπιτωθάζων ὁ βασιλεὺς ἐπέστειλεν αὐτοῖς τάδε· Ἀνέγνων, ἔγνων, κατέγνων. Ἕνα δ' αὐτῶν φασι πρὸς ταῦτα ἀντιγράψαι· Ἀνέγνως, ἀλλ' οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, οὐκ ἂν κατέγνως. Εἰσὶ δὲ οἳ Βασιλείῳ τῷ προστάτῃ τῆς τῶν Καππαδόκων ἐκκλησίας ταύτην τὴν ἐπιστολὴν ἀνατιθέασιν.

THÈME XL

Exercices sur tous les Verbes réguliers.

1. Ἥρα δύο δράκοντας ἀπέστειλεν, ἀναλώσοντας Ἡρακλῆ, ἔτι βρέφος ὄντα. Ὁ δὲ παῖς οὐ καταπλαγεὶς, ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας, ἀπέπνιξε τοὺς δράκοντας. — 2. Ἀγάπα τὸν πλησίον· νόμῳ πείθου· Θεὸν σέβου· γονεῖς αἰδοῦ· λαβὼν ἀπόδος· ἀνδράσι κακοῖς μὴ προσομίλει.

3. Σωκράτης ἔλεγε, τοὺς μὲν πολλοὺς ζῆν ἵνα ἐσθίοιεν, αὐτὸν δὲ ἐσθίειν ἵνα ζώη. Ἡμεῖς δὲ, οἱ ἱερεῖς τοῦ Χριστοῦ, ἐσθίομεν ἵν' εὐαγγελίζωμεν, ἀλλ' οὐκ εὐαγγελίζομεν ἵν' ἐσθίωμεν.

4. Οἱ ποιηταὶ τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν, οὓς οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειε λέγειν.

5. Εὐκλείδης ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος · « Ἀπολοίμην εἰ μή σε τιμωρησαίμην. — Ἐγὼ δὲ, ἀντεῖπεν, ἀπολοίμην εἰ μή σε πείσαιμι φιλεῖν ἡμᾶς. »

THÈME XLI

Quelques verbes irréguliers.

1. Τὸ κάλλος ἢ χρόνος ἀνήλωσεν ἢ νόσος ἐμάρανεν . ἡ δὲ ἀρετὴ, ἀεὶ νεάζουσα, οὔποτε συγγηράσκει. — Ἐὰν τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσει.

3. Τεθνάναι πολὺ κρεῖττον ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι. — 4. Ἀνὴρ εὐσεβὴς τὰς ἐν βίῳ συμφορὰς οἴσει ῥᾶον τῶν σοφῶν.

5. Ὁ ἀγαπῶν κίνδυνον, ἐν αὐτῷ ἐμπεσεῖται (Eccli. III, 27.)

6. Μὴ εἴπῃς · Ἥμαρτον, καὶ τί μοι κακὸν ἐγένετο; ὁ γὰρ Κύριός ἐστι μακρόθυμος. (Eccli. V, 4.) — 7. Κἂν πάντας λαθεῖν δυνηθῶμεν, ἀλλά γε τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ δυνησόμεθα λαθεῖν. (S. Chrys. IV, 597, b.)

8. Οὐκ ἐγὼ προφήτας προφήταις τολμῶ συγκρίνειν · ἀλλ' ὁ δεσπότης αὐτῶν τε καὶ ἡμῶν, ὁ Κύριος Ἰησοῦς ἀπεφήνατο · Μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐκ ἐγήγερται. (Cyrill. Hieros. Cat. III, 3, 3.)

THÈME XLII

Ἐξῆλθεν ὁ Δαυὶδ ὀπίσω Σαοὺλ ἐκ τοῦ σπηλαίου, καὶ ἐβόησε · Κύριε Βασιλεῦ, τί ἀκούεις τῶν λεγόντων ὅτι

Δαυὶδ ζητεῖ τὴν ψυχήν σου; Ἰδού, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου ὡς παρέδωκέ σε Κύριος σήμερον εἰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ ἐγὼ μέντοι οὐκ ἠβουλήθην ἀποκτεῖναί σε. Εἶπον γάρ· Οὐκ ἐποίσω τὴν χεῖρά μου ἐπὶ τὸν βασιλέα μου, ὅτι χριστὸς Κυρίου ἐστί. Ἰδοὺ, πάτερ, γνῶθι τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου. Τοῦτο γὰρ ἀφῃρηκὼς οὐκ ἀπέκτανόν σε. (I Reg. 24.)

THÈME XLIII

Exercices sur tous les Verbes.

1. Μάλιστα γ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

2. Εἴ τις οἴεται τερπνότερον εἶναι τὸν ἐν ἄστει βίον τοῦ ἐν ἀγροῖς, ἐνθυμηθήτω πρὸς ἑαυτὸν, οἷον μέν ἐστι βότρυς ὁρᾷν ἐξ ἀμπέλου κρεμαμένους, οἷον δὲ ἰδεῖν λήϊα ζεφύρων αὔραις κινούμενα, οἷον δὲ ἀκοῦσαι βοῶν μυκωμένων καὶ προβάτων βληχωμένων, οἷον δὲ θέαμα δαμάλεις σκιρτῶσαι καὶ γάλακτος οὔθατα ἕλκουσαι. Ἐμοὶ γὰρ δοκεῖ τὰ ἐν τοῖς θεάτροις δεικνύμενα μηδὲν εἶναι πρὸς τὴν ἀπ' ἐκείνων ἡδονήν.

3. Ἕως τοῦ θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς ὑπὲρ σοῦ πολεμήσει. (Eccli. IV, 33.)

THÈME XLIV

1. Πάτερ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. (Matth. VI, 12.) — 2. Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. (Ib. 15.) — 3. Ὁ τελώνης πικρῶς στενάξας καὶ πατάξας τὸ στῆθος, τοσοῦτον εἶπε μόνον· Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ κατῆλθε δεδικαιωμένος. (S Chrys. IV, 775, c.)

4. Κἂν μυρία πεπλημμεληκὼς, ᾖς, τὴν εὐχὴν ἐκείνην προτεινόμενος μετὰ πολλῆς τῆς παῤῥησίας, τὴν ἄφεσιν λήψῃ[1] τῶν ἡμαρτημένων ἁπάντων. (S. Chrys. IV, 783, c.)

THÈME XLV

Ἐφθέγγοντο μόνον οἱ Ἀπόστολοι, καὶ πᾶσαι ἐδραπέτευον αἱ ἀντικείμεναι δυνάμεις. Ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ στοιχεῖα πολλάκις ἔστησε, καὶ τὰς ἐνεργείας αὐτῶν μετέβαλεν. Εἶπε γοῦν ὁ Ἰησοῦς τοῦ Ναυῆ μόνον· Στήτω ὁ ἥλιος, καὶ ἔστη. Οὕτω καὶ ὁ Μωϋσῆς θάλατταν ἐπέδησε καὶ ἀνῆκεν. Οὕτως οἱ παῖδες οἱ τρεῖς τὴν ἐνέργειαν τοῦ πυρὸς ἔσβεσαν διὰ τῶν ὕμνων καὶ διὰ τῆς φωνῆς. (S. Chrys. IV, 777, d.)

THÈME XLVI

1. Ὁ Θεὸς βελτίω τινὰ καὶ λαμπροτέραν ἡτοίμασεν ἑτέραν ζωὴν, καθ' ἣν μέλλει τοὺς τῆς εὐσεβείας ἀθλητὰς στεφανοῦν καὶ ἀνακηρύττειν, τῆς οἰκουμένης ὁρώσης ἁπάσης. (S. Chrys. II, 13, c.) — 2. Ἰὼβ ἡνίκα τὰ χρήματα ἐκέκτητο, τὴν οἰκίαν ἠνέῳξε τοῖς πένησι καὶ τὰ ὄντα πάντα ἐξεδίδου· ἀλλ' οὐκ ἦν οὕτω λαμπρὸς ἡνίκα τὴν οἰκίαν ἠνέῳξε τὴν ἑαυτοῦ τοῖς πένησιν, ὡς ὅτε αὐτὴν ἀκούσας καταπεσοῦσαν, οὐκ ἀπεδυσπέτησεν. (S. Chrys. II, 15, c.)

THÈME XLVII

1. Ἡ ἐλπὶς, καθάπερ σειρά τις ἰσχυρὰ τῶν οὐρανῶν ἐξαρτηθεῖσα, τὰς ἡμετέρας διαβαστάζει ψυχὰς, κατὰ μικρὸν πρὸς τὸ ὕψος ἐκεῖνο ἀνέλκουσα τοὺς σφόδρα ἐχομένους αὐτῆς, καὶ τοῦ κλύδωνος ἡμᾶς τῶν βιωτικῶν κακῶν ὑπεραίρουσα. Ἂν δέ τις μαλακισθῇ καὶ ἀφῇ τὴν ἄγκυράν ταύτην τὴν ἱερὰν, κατέπεσέ τε εὐθέως καὶ ἀπεπνίγη, εἰς ἄβυσσον τῆς κακίας ἐλθών. (S. Chrys. I, 3, a.)

1. La forme attique ordinaire serait λήψει.

2. Οὐ δεινὸν, ὦ φίλε Θεόδωρε, τὸ παλαίοντα πεσεῖν, ἀλλὰ τὸ μεῖναι ἐν τῷ πτώματι · οὐδὲ χαλεπὸν τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι. καὶ ἀμελῆσαι τοῦ τραύματος. (S. Chrys. I, 37, b.)

THÈME XLVIII

Λύκος καὶ Αἴξ.

1. Λύκος θεασάμενος Αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐβούλετο μὲν θηρᾶσθαι, ἐπειδὴ δὲ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, παρῄνει αὐτῇ καταβῆναι, λέγων · « Εἰσὶ παρ' ἐμοὶ λειμῶνες καὶ ἡ ποὰ μαλακὴ καὶ εὐανθής. » — 2. Ἡ δὲ πρὸς αὐτὸν ἔφη · « Ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, ὦ Λύκε, αὐτὸς δὲ τροφῆς ἀπορεῖς. »

THÈME XLIX

Ρόδον καὶ Ἀμάραντον.

1. Ῥόδῳ παραφυὲν Ἀμάραντον ἔφη πρὸς αὐτό « Οἷον « ἄνθος εὐπρεπὲς εἶ, καὶ ποθητὸν καὶ θεοῖς καὶ ἀνθρώ- « ποις! Μακαρίζω σε τοῦ κάλλους καὶ τῆς εὐωδίας. » — 2. Τὸ δὲ Ῥόδον εἶπεν · « Ἐγὼ μὲν, ὦ Ἀμάραντον, « πρὸς ὀλίγον καιρὸν ζῶ, καὶ ἐὰν μηδεὶς κόψῃ με, τήκο- « μαι. Σὺ δὲ ἀνθεῖς ἀεὶ, καὶ ζῇς οὕτω νέον. »

Νόμιζε τὸ πρόσκαιρον εἶναι εὐτελές.

THÈME L

Ἡμίονος.

1. Ἡμίονός τις, ἐκ κριθῆς παχυνθεῖσα, ἀνεσκίρτησε καθ' ἑαυτὴν βοῶσα · « Πατήρ μού ἐστιν ἵππος ὁ ταχύδρομος, κἀγὼ δὲ αὐτῷ ὅλη ἀφωμοιώθην. » — 2. Καὶ δὴ τότε ἀνάγκης τινὸς ἐπελθούσης, ἡ Ἡμίονος ἠναγκάζετο τρέχειν. Ὡς δὲ τοῦ δρόμου ἐπέπαυτο, συμφρονήσασα, ὄνου τοῦ πατρὸς εὐθὺς ἀνεμνήσθη.

THÈME LI

Κόραξ καὶ Ἀλώπηξ.

1. Κόραξ ἔχων ἐν στόματι τυρὸν, ἐπί τινος δένδρου ἐκάθητο. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν καὶ τοῦ τυροῦ ἐπιθυμοῦσα, τὸν ὄρνιν μύθῳ ἠπάτησε τοιούτῳ · « Κόραξ, « καλαὶ μέν σοι πτέρυγες, ὀξεῖα γλήνη, θαυμάσιός τε « αὐχὴν · στέρνον ἀετοῦ φαίνεις. Ὄνυξι πάντων θηρίων « κατισχύεις. Ἀλλ' ὁ τοιοῦτος ὄρνις εἶ κωφὸς, οὐδὲ « λαιμῷ κρώζεις ! » — 2. Ο Κόραξ δὲ τῷ ἐπαίνῳ την καρδίαν ἐχαυνώθη. Στόματός τ' ἐκβαλὼν τὸν τυρὸν, ἐκεκράγει. — 3. Τὸν τυρὸν εὐθὺς Ἀλώπηξ ἥρπασε, καὶ χλευάζουσα · « Οὐκ ἦσθ' ἄφωνος », εἶπεν, « ἀλλὰ φω- « νήεις, ὦ Κόραξ. Ἔχεις ἅπαντα · νοῦς δέ σοι μόνον « λείπει. »

THÈME LII

Κορυδαλός.

Κορυδαλὸς, εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν · « Οἴμοι « τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ ! Οὐ χρυσὸν ἐνοσ- « φισάμην τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων « ἔκλεψα. Κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι « προυξένησεν. »

THÈME LIII

Ἀηδὼν καί Ἱέραξ.

1. Ἀηδὼν ἐπί τινος ὑψηλῆς δρυὸς καθημένη, κατὰ τὸ συνῆθες ᾖδεν. Ἱέραξ δὲ αὐτὴν θεασάμενος, ὡς ἠπόρει τροφῆς, ἐπιπτὰς συνέλαβεν. — 2. Η δὲ δύστηνος ἀναιρεῖσθαι μέλλουσα ἐδέετο τοῦ Ἱέρακος μεθεῖναι αὐτὴν, λέγουσα · « Μὴ βίβρωσκέ με · οὖσα γὰρ οὕτω μικρὰ, οὐκ εἰμὶ ἱκανὴ γαστέρα σὴν πληρῶσαι. Εἰ δὲ σὺ πεινῇς καὶ

τροφῆς ἀπορεῖς, δεῖ σε πρὸς τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. » — 3. Ὁ δὲ Ἱέραξ εἶπεν · « Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν ἀφεὶς, τὰ μηδέπω φαινόμενα διώκοιμι »

4. Τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν, οἳ, δι' ἐλπίδα μειζόνων, τὰ ἐν χερσὶν ὄντα προΐενται.

THÈME LIV

Ἑρμοῦ ἅμαξα καὶ Ἄραβες.

Ἑρμῆς ποτε ψεύσματα καὶ πανουργίας παντοίας εἰς ἅμαξαν ἐπιθεὶς, εἰς πᾶσαν γῆν ἀπῄει, τοῦτ' ἐμπόλημα τοῖς ἀνθρώποις ἀποδωσείων, οἱ μὲν ὠνοῦντο, οἱ δὲ οὐκ. Ὡς δὲ Ἀράβων κατήντησε τὴν χώραν, συντριβῆναι λέγουσι τὴν ἅμαξαν. Οἱ δὲ Ἄραβες ὅλον τὸν φόρτον ἐσύλησαν. Διὸ καὶ πάντων ἀνθρώπων γεγόνασι πανουργότατοι.

THÈME LV

Μῦς καὶ Βάτραχος.

1. Χερσαῖος Μῦς κακῇ μοίρᾳ Βατράχῳ ἐφιλιώθη. Ὁ δὲ Βάτραχος, κακῶς βουλευσάμενος, τὸν πόδα τοῦ Μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. — 2. Καὶ οὕτω συνοδεύοντες πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες. — 3. Ἔπειτα δ' εἰς τὸ χεῖλος τῆς λίμνης ἄμφω πλησιάσαντες, ὁ μὲν Βάτραχος τὸν Μῦν εἰς τὸν βυθὸν κατέφερεν, αὐτὸς βρυάζων τῷ ὕδατι, καὶ τὸ βρεκεκὲξ, κοὰξ, κοὰξ ἀνακράζων. — 4. Ὁ δὲ ἄθλιος Μῦς τῷ ὕδατι φυσηθεὶς, ἐτεθνήκει. — 5. Ἐπέπλει δὲ τῷ ποδὶ τοῦ Βατράχου συνδεδεμένος. — 6. Ἴκτινος δὲ τοῦτον ἰδὼν ἐπιπολάζοντα, τοῖς ὄνυξιν ἥρπασε, Βάτραχος δὲ δεσμώτης ἐπηκολούθει, δεῖπνον καὶ αὐτὸς Ἰκτίνῳ γενησόμενος.

7. Κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν · ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα, καὶ τὸ ἴσον ἀποδίδουσα ζυγοστατεῖ.

THÈME LVI

Ὁ Κατακλυσμός.

1. Πᾶσα ἡ γῆ πληρὴς ἦν ἀδικίας, καὶ ὕβρεως καὶ ἀσελγείας. Ἐκράτουν γὰρ τότε οἱ γίγαντες, ἄνδρες μεγάλοι καὶ ὑβρισταὶ καὶ ἀσεβεῖς. Παντες τε ἄνθρωποι κατέφθειραν τὰς ὁδοὺς αὐτῶν.

2. Ἔδοξεν οὖν τῷ Κυρίῳ ἐπάγειν κατακλυσμὸν ὑδάτων ἐπὶ τὴν γῆν, καὶ ποιῆσαι γένος ἕτερον, πονηρίας καθαρόν.

3. Νῶεος δ' εὗρε χάριν ἐνώπιον τοῦ Κυρίου, ὅτι δίκαιος ἦν.

4. Εἶπεν αὐτῷ ὁ Κύριος · « Ποίησον σεαυτῷ κίβωτον, « ὅτι μέλλω κατακλυσμὸν ὑδάτων ἐπὶ τὴν γῆν ἐπάξειν, « καὶ ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἀπαλείψω. »

5. Ἐποίησεν οὖν Νῶεος κίβωτον, ὥσπερ ὁ Κύριος ἐνετείλατο. Τετράστεγον αὐτὴν κατεσκεύασε καὶ πηχέων τὸ μῆκος τριακοσίων. Ἐν ἕκατον ἔτεσιν ἐποίησεν αὐτήν.

THÈME LVII

(*Suite.*)

6. Κτίσας τὴν κίβωτον ὁ Νῶεος εἰς αὐτὴν εἰσῆλθε, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ Σήμας, Χάμας, Ἰαφέθας, καὶ αἱ τρεῖς αὐτῶν γυναῖκες.

7. Καὶ ζῶα παντοῖα, θηρία τε, κτήνη τε, καί πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς, καὶ πᾶν ὄρνεον πετεινὸν, πρὸς Νῶεον συνελθόντα εἰσῆλθον εἰς τὴν κίβωτον, δύο καὶ δύο, ἄρσεν καὶ θῆλυ.

THÈME LVIII

(Suite.)

8. Τότε ὄμβρος ἐγένετο σφοδρὸς ἐπὶ τῆς γῆς τεσσαρακοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. Καὶ ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἀνεῴχθησαν.

9. Καὶ τὸ ὕδωρ ἐκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλότατα, εἰς πεντεκαίδεκα πήχεις ὑψωμένον ὑπεράνω.

10. Οὕτως ὁ Κύριος τὴν ἤπειρον εἰς θάλασσαν μετέβαλε. Καὶ οἱ μὲν ἄνθρωποι ἠφανίσθησαν πάντες, ὁ δὲ Νώεος ἐσώθη μόνος. Ἐπαιρομένη γὰρ ἡ κίβωτος ἐπεφέρετο ἐπάνω τῶν ὑδάτων.

11. Πάντα δὴ ὅσα ἔχει πνοὴν ζωῆς ἀπέθανεν, ἄνθρωποι καὶ θηρία, κτήνη τε καὶ ἑρπετὰ καὶ πετεινὰ τοῦ οὐρανοῦ.

THÈME LIX

(Suite.)

12. Ἀποληγούσης δὲ τῆς ἐπομβρίας καὶ ὑποβαίνοντος κατὰ μικρὸν τοῦ ὕδατος, ἐκάθισεν ἡ κίβωτος ἐπ' ἄκραν τινὸς ὄρους τῆς Ἀρμενίας. Καὶ μετ' οὐ πόλυν χρόνον ὤφθησαν αἱ κεφαλαὶ τῶν ὄρεων.

13. Καὶ τότε Νώεος ἀνοίξας τὴν θυρίδα τῆς κιβώτου, ἀπέστειλε τὸν κόρακα, ὃς οὐκ ἀνέστρεψεν.

14. Ἀπέστειλε δὲ καὶ τὴν περιστεράν · ἡ δὲ ἀνάπαυσιν οὐχ εὕρουσα τοῖς ποσὶν αὐτῆς, ἀνέστρεψεν. Καὶ ἐκτείνας ὁ Νώεος τὴν χεῖρα ἔλαβεν αὐτήν.

15. Μετὰ δὲ ἡμέρας ἕπτα πάλιν ἐξαπέστειλε τὴν περιστεράν · ἡ δὲ τότ' ἐπανῆλθε πρὸς αὐτὸν, κομίζουσα φύλλον ἐλαίας ἐν τῷ στόματι αὐτῆς.

16. Οὕτω Νώεος ἔγνω ὅτι ἡ γῆ τῆς ἐπικλύσεως ἀπήλλακται.

THÈME LX

(*Suite.*)

17. Τότε δὴ ἐξῆλθε Νώεος ἐκ τῆς κιβώτου, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ, καὶ πάντα τὰ ζῶα ὅσα ἦν ἐν τῇ κιβώτῳ σεσωσμένα.

18. Καὶ ἔθυσε τῷ Θεῷ.

19. Καὶ εἶπεν ὁ Κύριος · « Οὐκ ἔτι τὴν γῆν ἐπι-
« κλύσει τὸ ὕδωρ. Ἀλλὰ πάσας τὰς ἡμέρας τῆς γῆς
« σπέρμα καὶ θερισμὸς, ψῦχος καὶ καῦμα, θέρος καὶ
« ἔαρ οὐ καταπαύσονται.

20. « Τὸ γὰρ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ καὶ
« τοῦτο σήμειον ἔσται τῆς διαθήκης ἐμοῦ πρὸς ὑμᾶς.

21. « Ὅτε γὰρ συννεφήσω τὰς νεφέλας ἐπὶ τὴν γῆν,
« τότε ὀφθήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ μνησ-
« θήσομαι τῆς διαθήκης μου τῆς πρὸς ὑμᾶς. »

THÈME LXI

Σαμψὼν.

1. Τῶν Ἰσραηλιτῶν οἱ Ἀλλόφυλοι ἐκράτουν, καὶ φόρους παρ' αὐτῶν ἐλάμβανον. Ὁ δὲ Θεὸς τὸν λαὸν αὐτοῦ δι' ἑνὸς ἀνδρὸς τῆς ἀνάγκης ἠλευθέρωσεν. Οὗτος ἦν Δανίτης τις, Σαμψὼν μὲν τοὔνομα, ἰσχυρότατος δὲ πάντων ἀνθρώπων ὅσοι γεγόνασι.

2. Τοῦτο δὲ πρῶτον ἐγένετο τῶν αὐτοῦ κατορθωμάτων. Σαμψὼν ἀπερχόμενός ποτε εἰς Θάμνην πόλιν συνέτυχε λεόντι. Ὁ μὲν ὠρυόμενος ἀπήντα. Σαμψὼν δὲ, καὶ γυμνὸς ὢν, ἐκδεξάμενος αὐτὸν ἐφορμώμενον, ἄγχει ταῖς

χερσὶ, καὶ ὡς ἔριφον συντρίψας εἰς χωρίον τι ὑλῶδες ἔγγυς τῆς ὁδοῦ ῥίπτει τὸ θηρίον.

THÈME LXII

(*Suite.*)

3. Ἔπειτα τὴν τῶν Ἀλλοφύλων ὕβριν ἐκδικῆσαι βουλόμενος, συλλαμβάνει τριακοσιάς ἀλώπεκας, τῶν οὐρῶν αὐτῶν ἐξάπτει λαμπάδας, καὶ ἀφίησιν αὐτὰς εἰς τὰ λήϊα τῶν Ἀλλοφύλων. Καὶ φθείρεται, μὲν οὕτως αὐτοῖς ὁ κάρπος.

4. Ὀργισθέντες δὲ οἱ Ἀλλόφυλοι στρατεύουσιν ἐπὶ τοὺς αὐτοῦ φυλέτας, οἳ δεδεμένον τὸν ἄνδρα παραδίδουσιν αὐτοῖς. Ὁ δὲ Σαμψὼν τὰ δεσμὰ ῥήξας, καὶ ἁρπασάμενος ὄνου σιαγόνα παρὰ ποσὶν οὖσαν, εἰς τοὺς πολεμίους ὤσατο, καὶ παίων ἔκτεινεν αὐτῶν χιλίους, τοὺς δ' ἄλλους ἔτρεψε ταραχθέντας.

THÈME LXIII

(*Suite.*)

5. Μετὰ δὲ ταῦτα, Σαμψὼν εἰς Γάζαν ἀφικόμενος, τῶν Ἀλλοφύλων πόλιν, τὴν μὲν νῦκτα διῆγεν ἐν τινὶ τῶν καταγωγίων. Ἠγγέλθη δὲ τοῖς Γαζαίος ὅτι « Ἥκει ὁ Σαμψὼν ὧδε. »

6. Συνωπλισμένοι οὖν τῶν Γάζαίων ἄνδρες πολλοὶ ἐκύκλωσαν μὲν ἡσύχως τὸν οἶκον ἐν ᾧ Σαμψὼν ἦν καθεύδων, καὶ ἔλεγον · « Ὅταν διαφαύσῃ ὁ ὄρθρος, φονεύσομεν αὐτόν. »

7. Ἄλλοι δὲ καὶ τὴν πύλην ἐφύλασσον τῆς πόλεως ἐνεδρεύοντες, ὅπως ἐξιὼν μὴ λάθῃ.

THÈME LXIV

(*Suite.*)

8. Ὁ δὲ Σαμψὼν, περὶ μέσουσαν τὴν νύκτα ἐξ ὕπνου

ἐγερθεὶς καὶ ἀναστὰς, ἐξῆλθε δι' ἐκπλαγέντων καὶ φρισσόντων τῶν πολεμίων

9. Καὶ δὴ καὶ τῶν θυρῶν τῆς πύλης στιβαραῖς χερσὶν ἐπελάβετο, καὶ σὺν ταῖς δυσὶ φλίαις ἀράμενος, τῶν Γαζαίων ὁρώντων, ἔθηκεν αὐτὰς ἐπὶ τῶν ὤμων αὐτοῦ σὺν τῷ μόχλῳ, καὶ ταύτας ἐπὶ τὴν κορυφὴν τοῦ ἔγγυς ὄρους φέρων κατέθηκε.

THÈME LXV

(Suite.)

10. Παρέβαινε δὲ ὁ Σαμψὼν τὰ πάτρια ἔθη καὶ τὸν νόμον τοῦ Κυρίου, Ἀλλοφύλην τινὰ γυναῖκα λαβὼν, Δαλίλην τοὔνομα. Καὶ τοῦτο ἀρχὴ αὐτῷ τοῦ κακοῦ γίνεται.

11. Ἡ γὰρ Δαλίλη τεχνιτεύουσα ἐπειρᾶτο μανθάνειν τὴν αἰτίαν τῆς ἰσχύος, ὑφ' ἧς ἄληπτος ἦν τοῖς ἐχθροῖς αὐτοῦ. Καὶ τρὶς μὲν ὁ Σαμψὼν ἠπάτησεν αὐτήν.

12. Τέλος δὲ τῇ γυναῖκι δεομένῃ βουλόμενος χαρίζεσθαι, εἶπεν · « Ὁ σίδηρος οὐκ ἐξύρησε τὴν ἐμὴν κεφαλὴν, ὅτι ἱερός εἰμι τοῦ Κυρίου. Ἡ ἰσχύς μοῦ ἐστιν ἐν τῇ κόμῃ μου, καὶ παρηγγύησεν ὁ Θεὸς μὴ ἀποκείρειν αὐτήν. »

THÈME LXVI

(Suite.)

13. Ταῦτ' ἀκούσασα ἡ Δαλίλη καθεύδοντος τοῦ Σαμψῶνος τὴν κόμην ἀποκείρει, καὶ τὸν ἄνδρα τοῖς πολεμίοις ἀποδίδωσιν, οἳ ἐκκόπτουσι τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ δεδεμένον ἀπάγουσιν εἰς Γάζαν. Καὶ ἦν ἀλήθων ἐν τῷ δεσμωτηρίῳ.

14. Προϊόντος δὲ τοῦ χρόνου, ηὐξάνετο ἡ κόμη τῷ Σαμψῶνι. Καὶ ἑορτῆς οὔσης τοῖς Ἀλλοφύλοις δημοτελοῦς, οἱ μεν ἄρχοντες πάντες καὶ οἱ γνωριμώτατοι ἦσαν ἐν

ταὐτῷ εὐωχούμενοι. Τοῦ δὲ οἴκου τὸν ὄροφον δύο κίονες ἔστεγον.

15. Τὸν δὲ Σαμψῶνα μεταπέμπονται εἰς τὸ συμπόσιον, καὶ ἐῤῥάπιζον αὐτὸν, καὶ ἐνύβριζον αὐτῷ. Πολλοὶ δὲ καὶ τοῦ δημοῦ παρῆσαν, θεωροῦντες τὸν Σάμψωνα παίζοντα ἐνώπιον αὐτῶν.

16. Ὁ δὲ Σαμψὼν ὑβριζόμενος πείθει τὸν χειραγωγοῦντα παῖδα τοῖς κίοσιν αὐτὸν ἔγγυς ἄγειν, λέγων ὅτι χρήζει ἀναπαύσασθαι.

17. Ὡς δὲ ἦκεν, περιλαμβάνει τοὺς δύο κίονας, ἕνα μὲν τῇ δεξιᾷ κρατήσας, ἕτερον δὲ τῇ ἀριστερᾷ, καὶ λέγει· « Ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν Ἀλλοφύλων ! »

18. Τότε δὴ ἀναιρῶν καὶ ἀποσείων τοὺς δύο κίονας μετ' ἰσχύος, καταβάλλει τὸν οἶκον ἐπὶ τοὺς ἄρχοντας, καὶ τοὺς γνωρίμους καὶ τὸν λαὸν τὸν ἐν αὐτῷ.

19. Πάντες ἀπέθανον, ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ γυναῖκες, ἐν αὐτοῖς δὲ καὶ Σαμψών, ὁ μεγάλα μὲν παρὰ τὸν βίον κατορθώσας, μείζονα δ' ἐν τῷ θανάτῳ.

20. Οἱ δὲ συγγενεῖς ἀράμενοι τὸ σῶμα αὐτοῦ ἔθαψαν ἐν τάφῳ τοῦ πατρὸς αὐτοῦ.

Epilogue.

Εἶπόν σοι, ὦ φίλε, χρηστὰ πολλά· χρησιμώτατον δὲ πάντων ἐπιθήσω τὸ τοῦ Ἰωάννου· Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον. (I Ép. 2.)

EXERCICES

sur le premier livre

DE LA PETITE ANTHOLOGIE

Συγγραφεῖ Μαθητής.

1. Κατεσκεύασάς μοι βίβλον ψιλῇ λέξει, ὦ συγγραφεῦ. Κεχαρισμένα μοι ἐποίησας αὐτὴν συῤῥάπτων. Ἐνεῖρας αὐτῇ καὶ ὀλίγα τῶν πάλαι ποιητῶν ἔπη, ὡς καλοὺς μαργαρίτας.

Ὁ μὲν σὸς πεζὸς λόγος παρέσχε μοι τὴν ὄνησιν οὐχ ἥσσονα τῶν στίχων. Ἀλλὰ παυρότερα μέντοι ἐῤῥύθμισας οἴκοθεν. Τὰ γὰρ παρεισδυόμενα μηδεὶς ἡγήσεται ἐκβλητέα.

2. Ἤδη σπουδαίως ἀνείλιξα τοῦτο τὸ βιβλίον καὶ οἶμαι κλεῖδα τιμίαν ἔχειν.

Ταύτῃ κὰρ ἀνέῳξα τας βιβλιοθήκας τῆς Ἑλλάδος, καὶ ἤδη χάρτας τινὰς τῶν ἐκεῖ ἀνέγνων ἡδέως.

Εἰς τὸν Χριστόν.

3. Οἱ μέροπες, ὦ Χριστὲ, σῆς ἐχάτουν ἀρωγῆς. Φῶς μὲν ἄφθιτον αὐτοῖς ἔδωκας, τὰ δ' οὐ καλὰ νόσφιν ἤρυξας, καὶ ἅπασι χάριν ἐσθλὴν ὤπασας.

Εἰς Μαρίαν.

4. Ἄνδρας μάχαις ἀρίστους οὐκ ἐγὼ θέλω μελίζεσθαι.

Μόνην Μαρίαν ἠχήσουσιν αἱ τῆς ἐμῆς βαρβίτου χορδαί.

5. Ἡδύ τι ἄρνες τῶν λειμώνων πόαν νεμόμενοι, καὶ δαμάλαι τὸ κάρδαμον βοσκόμεναι ἐν τοῖς ἕλεσι, καὶ βουκόλοι μέλποντες ἐν νάπαις. Ἀλλ' ἥδιον τὸ τῆς Μαρίας ὄνομα

6. Χαίροιτε δὴ, ἄρνες τε καὶ δαμάλαι, καὶ βουκόλοι· ἐμῇ γὰρ ἱερᾷ φόρμιγγι μόνην Μαρίαν ᾄδω.

Ἧλος.

7. Ἀθύρεις, ὦ παῖ, σφύρᾳ τὸν ἧλον τοῦτον εἰς τὴν δοκὸν θείνων· ἀλλ' εἰ ἁμαρτήσεις τοῦ σκοποῦ, τὸν δάκτυλον θλάσεις.

8. Ἔνθ' ἀλγήσεις, καὶ ὀλολύζων δραμεῖ πρὸς τὴν μητέρα. Ἡ μάμμη δ' οὐ λήψεταί σε κόλπῳ, οὐ καταρρέξει τοὺς ἰούλους σου τοὺς ξανθοὺς, οὐκ ἀμφὶ τὴν σὴν δειρὴν πλέξει τὰς ὠλένας, οὐ τὰς σὰς γένυας κυνήσεται, οὐκ ἐλεήσει τὴν σὴν κραυγὴν, ὅτε μέλλεις ὀξυτέρῳ λαιμῷ ἰαχήσειν.

9. 10. Ἡ δὲ κάσις μειδιῶσα πικρῷ στόματι καὶ δριμείᾳ γλώσσῃ σκώψεται τοὺς σοὺς ὀδυρμοὺς, καὶ ἐρεῖ τὸ βρέφος πάσχειν ἄξια τῆς ἀνοησίας.

11. Βούλει μὴ ῥαῖσαι μήποτε τοὺς δακτύλους σου; Αἴρησον τὴν λαβὴν τῆς σφύρας χερσὶν ἀμφοτέραις, ὦ βέλτιστε, καὶ τῇ δεξιᾷ τὴν ἀριστερὰν οὐ κόψεις.

Λουκιανὸς ἐκ γλυφέως φιλόσοφος
Ἡ προτεραία.

12. Ἐγὼ μεῖραξ ἤδη γεγένημαι. Οἱ διδάσκαλοι ἀπὸ τῆς σχολῆς ἀφῆκάν με σήμερον. Καὶ αὔριον δοθήσομαι τῷ θείῳ.

Ἔστι δὲ ὁ θεῖος δαίδαλος γλυφεύς· τὴν τέχνην αὐτοῦ

μαθήσομαι, καὶ ἀποξέσω παρ' αὐτῷ κηρὸν, λίθον, ξύλον, χαλκόν· καὶ πλάσω βόας, πλάσω ἵππους, πλάσω καὶ ἀνθρώπους. Ὅσην ἕξω ἡδονήν!

Ἡ φύσις γὰρ, νὴ Δί', ἐμοὶ ἔδωκέ τινα δεξιότητα εἰς τὴν γλυφέων τέχνην.

Ἡ ὑστεραία.

13. Ἐμοί τι χαλεπώτατον γέγονε σήμερον ἀρχομένῳ. Ξοῖς γὰρ ἐδόθη μοι ὑπὸ τοῦ πρέσβεως κελεύοντος ἄβακά τινα κνίζειν, καὶ ἐπιλέγοντος τὴν ἀρχὴν εἶναι ἥμισυ παντός.

Ἔκνιζον οὖν ἠρέμα, ὡς ἐδόκουν μοι, ἀλλὰ κατέαξα μέντοι τὴν πλάκα.

Ὁ δὲ γέρων ἠγανάκτησε, καὶ σκυτάλην ἔλαβε, καὶ ἐμάστιξέ μοι τὸν νῶτον οὐ πράως γε ὁ βάρβαρος. Ἀποδράσομαι.

14. Ἀπέδρασε δῆτα Λουκιανὸς, καὶ εἰς τὴν πατρὸς οἰκίαν ἀφίκετο. Συνεχὲς ἔλυζε. Τῇ μητρὶ τὰς πληγὰς ἔδειξεν· ἡ δὲ τοὺς μώλωπας ἰδοῦσα πολλὰ τῷ ἀδελφῷ ἐλοιδορήσατο· ὁ γὰρ σκυθρὸς τὸ παιδίον ἐδεδάρκει.

Ὁ δὲ Λουκιανὸς πολλὰ εἶπε χαίρειν τιτάνῳ, καὶ μαρμάρῳ, καὶ ἄβαξι, καὶ ἐδόθη φιλοσόφῳ, τὴν σοφίαν ἀντὶ τῆς τῶν γλυφέων τέχνης μαθησόμενος.

Κύνες δύο.

15. Ἀστὸν κύνα ποτέ φασιν εἰπεῖν ἀγρότῃ κυνί. Αὔριον ἡ θυγάτηρ ἐμοῦ δεσπότου γαμήσεται, ἐγὼ δὲ μετὰ τῆς νυμφης μελλω δαίνυσθαι, σὺ δὲ ἐλθὲ μεθ' ἡμῶν ἐσθίειν.

Ὁ δ' ἄγροικος ἀνέστη ἅμα τῇ ἕῳ, καὶ ἐν κρήνης ὕδατι λουσάμενος τὸ δέμας, ἐκυλίσατο ἐν πόᾳ, ὥστε τὴν τρίχα σπουδαίως μάξασθαι, καὶ νήφων εἰς τὴν πόλιν ἔδραμε. Πρὸ τῶν τειχῶν τὸν ἑταῖρον ἀπαντῶντα ἠσπάσατο κατὰ τὸν νόμον τῶν κυνῶν τῶν εὐπαιδεύτων.

16. Εἰς τὴν αὐλὴν ὁ ἀγρότης εἰσελθὼν ἐθάμβει, ὁρῶν πλῆθος δμωῶν κινουμένων, καὶ ἀκούων ἁρμάτων τε κρότον εἰσερχομένων καὶ ἵππων πάταγον εἰσελαυνομένων. Ταινίαις ἐρυθραῖς ἦσαν πάντες κεκοσμημένοι. Ταύτας δὲ σκύλακες οὐκ ἐφόρουν.

17. Τὰ βρώσιμα τῶν ὀστέων, ἔνθα καὶ ἔνθα κειμένων, κατέπτυον οἱ κύνες ἐλπίζοντες βελτίω.

Ἦσαν γὰρ ἐν ἐσχάρᾳ πάμπολλαι ὄρνιθες ἐσφαγμέναι, χῆνες, περιστεραὶ, κίχλαι, περδίκων τε καὶ πιόνων ὀρτύγων πλῆθος. Ταῦτα τὰ κρέα, δημῷ σφριγῶντα, ὀβελοῖς ἐπέπαρτο, ἄνθραξιν ὤπτητο, ἢ λέβησιν ἦν ἑψόμενα.

18. Τὼ κύνε πάντα περιεσκεπτέσθην, πάντων ὠσφραινέσθην · ὁ δὲ μάγειρος, ὡς αὐτὼ κατεῖδε μόνον οὐ λείχοντε, τοῦ μόθωνος ῥάβδῳ τὴν ῥάχιν πατάξας, τοῦ ξένου τὸ σκέλος ὀρρώδους ἥρπαξε, καὶ εἰς τὴν ἀγυιαν σκυζόμενον ἐσφενδόνησεν.

19. Εἶτα σκύμνων τινὲς ἤροντο. « Πῶς ἤσθιες ; » Ὁ δ' ἀγρότης ἔκρυψε τὸν δέννον, οὐκ εὐηθῶς λέγων · « Οὕτως ἐδείπνησα ὥστε μὴ γνῶναι ὅπῃ γε μέλλοιμι ἐξελθεῖν. »

Μὴ ψεύδοιο μήποτε. ἀλλ', ἢν θέμις, ὕβρεις ἰδίᾳ πέψον.

Ἡ Ἔλαφος.

20. Ἐν τῷ καυσωνι τῆς ἡμέρας, διψῶσα Ἔλαφος ἥσυχα λίμνης ὕδατα ἔπινεν.

21. Τότε σκιὰν ἑαυτῆς ἐν ὁμαλῇ πηγῇ θεασαμένη ἐλυπεῖτο κατιδοῦσα τοὺς πόδας ἄγαν ἰσχνοὺς, ηὔχετο δ' ἐπὶ κέρασιν, ὡς σεμνοτέροις.

22. Ἀλλ' αἰφνιδίως εἶδεν ἀνδρῶν ὄχλον φερόντων ἀκόντια καὶ πολλοὺς ὑλακτοῦντας κύνας. Κραιπνὴ κούφοις ἴχνεσι πεδίον εὐρὺ περάσασα · δασεῖαν ὕλην εἰσῆλθεν.

23. Ἀλλ' ἐνεπλέχθη τὰ κέρατα δρυμοῖς, καὶ οἰστοῖς ἐβλήθη.

24. Ὡς κύνες ὠμοὶ ἔδαπτον αὐτὴν, ἡ δύσποτμος ἔλειβε δάκρυα, λέγουσα · Οἴμοι, τοὺς πόδας ἔψεγον, οἳ ἔσωζόν με, τοῖς δὲ κέρασιν ἐχαιρόμην, ἀπολέσασι με δειλήν.

Χριστοῦ σήματα.

25. Ὦ Λόγε τοῦ Θεοῦ, ἄνθρωπος δὴ γέγονας, ἵνα βροτὸς ὢν ἰαίνῃς τῶν βροτῶν τὰς νόσους. Ἐπειδὴ παρ' ἡμᾶς κατέβης, νῦν ὄψονται οἱ τυφλοὶ τὸν ἥλιον, καὶ τὴν σελήνην βλέψονται, καὶ τοὺς ἀστέρας θαυμάσονται.

Μόλις ἔσκαζε πρότερον ὁ κυλλόπους · νῦν δ' αὐτὸν ὀρθὸν βαδίζοντα, καὶ ἀλλόμενον ὡς νεβρὸν ὁρῶμεν. Καθαρὰ νῦν στίλβει ἡ σὰρξ τοῦ λεπροῦ, καὶ ὁ χρὼς αὐτοῦ γέγονεν ὡς νηπίου παρειαί.

26. Ἆρα νῦν καὶ ὑμεῖς οἱ κωφοὶ, ἀκροᾶσθε τῶν ὀρνίθων μέλος, καὶ βροντὴν βρέμουσαν ἀκούετε, καὶ τῶν μερόπων κλύετε τὴν αὐδήν. Ἤδη καὶ νεκροὶ ἐν τάφοις ἠγέρθησαν. Ὁ Χριστὸς γὰρ ἔκλεισεν Ἅδου τὴν θύραν, καὶ ἀνέῳξε πᾶσι τὰς πύλας τῶν οὐρανῶν.

27. Ἀθρόοι μέντοι κατὰ τοῦ Χριστοῦ λαοὶ φρυάσσονται · ἀλλὰ μερμηρίζουσιν ἐτώσια. Νομεύσεις γὰρ, ὦ Χριστέ, τῶν ὑπερφιάλων ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, καὶ θραύσεις τῶν γαύρων τὰς κεφαλὰς ὥσπερ σκεύη κεραμέως. Καὶ ὥσπερ σταφυλαὶ ἐν ληνῷ, οὕτως οἱ ὑπέραυχοι ὑπὸ ποσὶ τοῦ Χριστοῦ γενήσονται. Καταπάτησον, καταπάτησον τοὺς μεγαλαυχεῖς, ὦ Χριστὲ, καὶ τῶν ταπεινῶν τὴν ἐκκλησίαν σῶσον.

Τὸ ἔαρ.

28. Ὗσεν ἅλις · ἐφάνη τό ἔαρ. Ἡ κρυερὰ πάχνη διεχύθη. τὴν χιόνα τὸ θάλπος διέχεεν · αἱ ἀκτῖνες τοῦ ἡλίου

διεσκέδασαν τὴν ἀχλύν. Αἱ νῆσσαι ἐν λίμναις κολυμβῶσιν, αἱ γέρανοι ὁδεύουσι διὰ τῶν νεφῶν.

29. Νῦν ἡ γαλήνη κατέχει τὰ κύματα τῆς θαλάσσης· αἱ πίδακες νάουσι διαυγεῖς, καὶ οἱ ποταμοὶ ῥέουσι δαψιλεῖς. Ἡ νοτὶς διαίνει τὴν βῶλον, τὰ λήϊα φύεται, θάλλουσιν αἱ ῥοιαὶ, βλαστάνουσιν αἱ ἐλαῖαι καὶ ἀναπτύσσεται κάλυξ ἀργὴ ναρκίσσου· ταπεινὸν ἴον ἐν λειμῶσι καὶ παρὰ ταῖς αἱμασιαῖς τῶν κήπων ὄζει γλυκὺ, καὶ ἐν πᾶσι δένδροις πείροντες τὸν φλοιὸν οἱ ὀφθαλμοὶ προκύπτουσι.

30. Ὅρα νῦν τοὺς ἀμνοὺς σκιρτῶντας χλοεροῖς ἐν λειμῶσι, καὶ μῆλα τῶν ἀρουρῶν τὴν βοτάνην κείροντα. Λιμένων ἐξορμῶνται νῆες ἱστίοις ἐπτερωμέναι, καὶ δελφῖνες ἀναφυσῶσιν ὡς ἥδιστον, τοὺς πλέοντας προπέμποντες.

Ὁ γεωργὸς λείπει τὴν ἑστίαν, καὶ τὸν βοῦν ὑπὸ ζυγὸν ἄγων ἀρότρῳ στίλβοντι τέμνει αὔλακα.

Νῦν ὁρῶ τὸν ποιμένα σύριγγας ἁρμόζοντα, ἰξευτὴν δὲ καλάμους οἰκοδομοῦντα, ἁλιέα δὲ σαγήνην ἔχοντα καὶ βυθοὺς διορῶντα.

31. Νῦν μελισσῶν ἑσμοὶ βομβοῦσι, καὶ λειμῶνας ἐφίπτανται καὶ ἀνθέων μέλι συλῶσιν. Ὁ ἵππος οἴκῳ δυσχεραίνει, χρεμετίζει, ῥήγνυσι τὰ δεσμὰ, κατὰ πεδίον κροαίνει καὶ ἐν ποταμῷ λούεται.

Ὦ ἄνθρωποι, ὑμνεῖτε τὸν Θεὸν τὸν κρατερὸν, τὸν ἀγαθῶν πάντων δοτῆρα.

Ὄρνιθες.

32. Τὰς καλιὰς ὄρνιθες πήγνυνται ἀχύροις τε καὶ πηλῷ. Ταύτας γύαλα τῶν πετρῶν κεύθει, ἢ τὰ φύλλα τῶν δασέων δένδρων. Ἐνίων δονοῦσιν οἰκίας οἱ ὑψηλοὶ θάμνων ἀκρέμονες.

33. Ἡ θῆλυς ἐν θαλάμῳ κοιμωμένη πολλὰς ἡμέρας ᾠὰ θάλπει, ἕως ἂν ἐκλεπίζῃ τοὺς νεοσσούς.

Ὁρᾷς τὸν ἄρσενα ἐπ' ἔρνους τοῦδε θάσσοντα; ὡς ὀπὶ χαριέσσῃ μολπάζει! ὡς αἰόλαις ᾠδαῖς τέρπει τὴν ὄαρα!

Ἰδοῦ, νῦν δίζεται βοράν· αὐτίκα πυρὸν λαβὼν, ἢ κώνωπα ἢ μυῖαν θηρεύσας τῇ ἀλόχῳ προσοίσει.

Παραβολαί.

34. Τίς ἐξ ἀκανθῶν συνέλεξε σῦκα; ἢ τίς ἐκ βάτου σταφυλὴν ἐτρύγησε; Δένδρον ἕκαστον ἴδιος καρπὸς δηλοῖ.

35. Τέκνον σου μετ' ὀργῆς νουθετεῖς, ὦ πάτερ· ἀλλ' ἴσθι γὰρ πικρὰν ῥίζαν ὅτι καρπὸν γλυκὺν οὐ φύει.

Τὸν εὐπλοοῦντα μνηστέον ζάλης.

36. Ὁ μεγαίρων ἔοικεν ὄφει τείροντι ῥίνην καὶ τοὺς ὀδόντας αὐτοῦ κατατρύχοντι.

Οὐ παραμένει τῇ μνήμῃ βίαιον μάθημα· τὸ δὲ μετὰ τέρψεως εἰς τὴν ψυχὴν εἰσδυόμενον πέφυκε μονιμώτερον πως ἐνιζάνειν.

37. Πήραν φέρεις, ὦ παῖ, ἥτις πρόσθε μὲν τὰ ἡμέτερα βάρη, ὄπισθε δὲ τὰ σὰ χανδάνει.

Εὐτέχνως τὴν Ἀθηνᾶν ἐν πίνακι Ζεῦξις ἐγεγράφει. Πάντες μὲν ἐθάμβουν οἱ ἄνθρωποι. Ἰδὼν δὲ τὴν θεὰν καὶ σιμὸς πίθηξ εἶπεν αἰσχίστην ταύτην ὄψιν εἶναι, ὡς οὐδεν πιθήκειον ἔχουσαν.

38. Ἐνίκησας μὲν ἅπαξ τὴν ἐπιθυμίαν, οὐ βούλει δὲ παντελῶς αὐτὴν ἀφαιρεῖν. Ὄφιν τιθασσὸν φέρβεις· ἆρα τὸν ἰὸν ὤλεσεν; Οὐχί· ἀλλὰ τὸν νικήσαντα νύξει ποτέ.

Ὁ Λύκος.

39. Νήπιός τις ἔκλαιεν· ἀπειλοῦσα τίτθη εἶπεν αὐτῷ. Εἰ σὺ τῶν γόων μὴ λήξεις, ἐγὼ ῥίψω σε τῷ Λύκῳ.

Λύκος τότε παρήλαυνε· Λύκον πιέζειν εἴωθε λιμός· ταῦτ'

ἀκούσας ἐνόμισε τὴν γραῦν ἀληθῆ βάζειν, καὶ ἐν λόχοις ἔμεινεν, ἐλπίζων ἕτοιμα δειπνήσειν.

40. Ἀλλ' ὡς ἐπῆλθεν ἡ δείλη, τὸ βρέφος ἡ τιθήνη ἐν ταῖς ἀγκάλαις κομίσασα, καὶ ἐν θερμῇ κατακλίνασα κοίτῃ, ἠμφίεσε σπαργάνοις, καὶ μαλακοῖς ἐστόρεσε κώεσιν.

Ὁ δὲ Λύκος εἰς τὰ μέλαθρα ἐνόστησεν, ἕως ὀψὲ μάτην ἐλπίδι νωθρᾷ παρεδρεύσας.

41. Ἐνήστευε δὲ καὶ ἡ δάμαρ ἐν φωλεᾷ, καὶ σὺν πεινῶσι τέκνοις τῇ θύρᾳ ἐφεστηκυῖα προσεδόκα τὸν πόσιν. Νισσόμενον εὐθὺς ἠρώτησε· « Πῶς οὐδὲν τροφῆς ἄρας ἦλθες; » Αὐτοῦ δὲ τὸ γεγενημένον ἀπαγγείλαντος, ἀνέκραξεν ἡ λύκαινα· « Ὦ ἠλίθιε! σὺ γὰρ ἐπίστευες ὁμοκλούσῃ μητρί; »

Κολοιός.

42. « Ἀγὼν κάλλους ὄρνισιν ἐν Ὀλύμπῳ κεῖται, » ἤγγειλεν Ἶρις ποτὲ τοῖς πτηνοῖς. Εὐθὺς πάντες ὄρνιθες σείουσι ταρσούς, κτενίζουσι τῶν αὐχένων χαίτας, λόφους εὖ σχηματίζουσι, καὶ εἰς ἅμιλλαν προσέρχονται.

Ὁ δὲ Κολοιὸς εὐπρεπῶς ἑαυτῷ συνήρμοσεν ἄλλων πετεινῶν ποικίλα πτερά, καὶ τοῖς ἀλλοτρίοις οὕτω κεκοσμημένος εἰς τὸν Δία προσῆλθε.

43. Ὁ Κρονίων θαμβήσας ἔκρινε καὶ τὸν ταὼν ὑποχωρεῖν τῷ κολοιῷ. Ἀλλ' ἡ γλαὺξ κατεῖδε τὰ σφέτερα πτίλα ὑπὲρ ὤμων τοῦ κολοιοῦ, καὶ ὁ φὼρ οὕτως ἠλέγχθη.

44. Εὐθὺς γὰρ ἐσπάραξαν αὐτὸν ἡ κορώνη, καὶ ἡ κωτίλη κίσσα, καὶ ἡ τρυγὼν, καὶ ὁ κύκνος. Καὶ ἑκάστου τὸ ἴδιον ἑλκύσαντος, πτερὰ μόνα κολοιοῦ τῷ κολοιῷ ἔμεινεν.

Παραινέσεις.

45. Τοῖς νέοις ἀκουστέον τῶν γερόντων· ἀλήθειαν γὰρ διδάσκουσι παῖδας οἱ γέροντες. Οὐ νάρθηξιν ἵπτονται, ἀλλὰ σοφοῖς ῥήμασι πείθουσιν.

Οἱ μὲν γριπεῖς δελεάζουσι τούς ἰχθῦς, καὶ οὕτως ἕλκουσιν· ἡ ἡδονὴ δὲ θέλγει τὸν ἀσελγῆ, καὶ οὕτω παρασύρει εἰς τὸν θάνατον. Τρυφὴ γὰρ τίκτειν ἀλίτημα πέφυκε, καὶ ἁμαρτία θάνατον ἀποκυεῖν.

46. Ξίφος οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ σῶμα τιτρώσκει· τὴν δὲ ψυχὴν τί οὖν φονεύει; ἰοῦ μεστὴ γλῶσσα καὶ μειδιῶντα χείλη.

Πίσσης ἔθιγες, ἐμολύνθης· λάγνοις ὁμιλεῖς, πόρνος γενήσει.

47. Ἔπεσον μὲν εἰς ἰλὺν βαθεῖαν ἀδικίας, ἀλλα πρὸς τὸν Κύριον ἐβόησα· καὶ αὐτίκα λαβών με χειρὸς ὤρθωσεν.

Εἰ γὰρ ὁ ἁμαρτωλὸς μετανοεῖ, ἰδίῳ αἵματι ῥαίνει αὐτὸν, καὶ ἔρσῃ τῆς χάριτος τὰς κηλῖδας αὐτοῦ ἀπονίπτει· καὶ ὁ μέλας ὡς ἄνθραξ ὑπὲρ χιόνα λευκανθίζει.

Σοῖς πάθεσι χρήζεις ἀκέστορος, ὦ φίλε. Μὴ τὰ κακὰ κεύθῃς, εἰ μέλλεις τὴν σηπεδόνα φεύγειν.

48. Τὸν ἀνειμένως βιοῦντα, τὸν χλιαρὸν, τὸν οὔτε ψυχρὸν οὔτε ζεστὸν ὁ Κύριος μέλλει ἐμέσαι ἐκ τοῦ στόματος αὐτοῦ.

Ὡς οἱ πατέρες ἡμῶν, οἱ ὑπὸ διφθέραις ἐσκηνωμένοι, εἰς τὸν ἀόρατον Θεὸν αὐτοὶ ἀτενίζωμεν, καὶ τῶν φθαρτῶν μὴ κηδώμεθα.

49. Ἀθροίζειν μοί χρήματα βούλομαι, ἀλλ' οὐκ ἐν βόθροις ἔγωγε θάψω τὸν ἐμὸν θησαυρόν. Ἐν τοῖς οὐρανοῖς τὸν ἐμὸν πλοῦτον σωρεύσω· πῶς οἱ σῆτες ἔδονται αὐτόν; πῶς οἱ κλέπται ὀρύξουσιν ἐνταῦθα;

Ἡμεῖς οἱ χριστιανοὶ ἀγαπῶμεν τοὺς ἐχθρούς ἡμῶν, καὶ εὐλογοῦμεν τοὺς καταρωμένους ἡμᾶς.

50. Δαπανήσατε τὸ ἀργύριον εἰς τοὺς ἐνδεεῖς, καὶ περισσεύσει ὑμῖν ὁ χρυσός · ἀρυόμενον γὰρ δαψιλέστερον γίνεται φρέαρ.

Χρῆσον τῷ πένητι, δὸς τῷ μὴ ἔχοντι, καὶ τὸν Χριστὸν αὐτὸν ὠφελήσεις.

FIN DE LA PREMIÈRE PARTIE.

CORRIGÉS

DES

THÈMES GRADUÉS

SUR LA

GRAMMAIRE GRECQUE

DEUXIÈME PARTIE

THÈMES GRADUÉS

Sur la Syntaxe grecque.

DE L'ARTICLE

Usage de l'Article.

THÈME I

Ἄρκτος καὶ Ἀλώπηξ.

1. Ἄρκτος ποτὲ πρὸς Ἀλώπεκα μεγάλῃ φωνῇ ἐκαυχᾶτο, ὡς φιλάνθρωπός ἐστι (φασὶ γὰρ τὴν ἄρκτον νεκρὸν μὴ θοινᾶσθαι). Ἡ δὲ Ἀλώπηξ μειδιῶσα πρὸς αὐτὴν, « Εἴθε τοὺς νεκροὺς, ἔφη, καὶ μὴ τοὺς ζῶντας ἤσθιες. » (Ésope.)

2. Κύριε, τὸ ἐπίστασθαι σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας. (Sap. 15.)

3. Χίλων ἐρωτηθεὶς τί χαλεπώτατόν· « Τὸ γινώσκειν ἑαυτόν, » ἔφη. (Stob. 19.)

THÈME II

1. Οὐδὲν οὕτω ῥάδιον ὡς τὸ γενέσθαι κακόν. (Greg. Naz. ap. Stob. 17.)

2. Ἀρχή τοῦ νικᾶν τὸ θαρρεῖν. (Plut. Thém. 8.)

3. Τοῦτο λογίζου, ἐπειδὰν λάβῃς τὸν ἐχθρὸν, ὅτι

πολλῷ μεῖζον καὶ κερδαλεώτερον τὸ φείσασθαι τοῦ διαφθεῖραι. (S. Chrysost. t. IV, p. 76, c.)

4. Τὸ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. (Dém. *Ctesiph.*)

5. Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· πλεῖον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος. (Démoph. Simil.)

THÈME III

1. Ἡμεῖς αἱρούμεθα τοῖς ἀσθενεστέροις, καὶ παρὰ τὸ συμφέρον, βοηθεῖν μᾶλλον, ἢ τοῖς κρείττοσι, τοῦ λυσιτελοῦντος ἕνεκα, συναδικεῖν. (Isocr. Pan. 14.)

2. Ὁ βόθρον ὀρύσσων τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτὸν, ὁ δὲ κυλίων λίθον ἐφ' ἑαυτὸν κυλίει. (Prov. 26.)

3. Ἶσον ἐκεῖνο παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ πείθεσθαι. (Hérodt. ap. Stob. 25.)

4. Ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾷν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων. (Épict. fragm. 121.)

Place et suppression de l'Article.

THÈME IV

1. Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ τοῖς λογισμοῖς μετάγονται. (Démoph. Simil.)

2. Οἱ μὲν παῖδες τὰ γράμματα, οἱ δὲ ἀπαίδευτοι ἄνδρες τὰ πράγματα συγχέουσιν. (Démoph. Simil.)

3. Ὁ Κύριος ἐρεῖ τοῖς ἐξ εὐωνύμων· « Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν » (Matth. 25.)

4. Ἡ ποιητική ἐστι ζωγραφία λαλοῦσα, ἡ δὲ ζωγραφία ποιητικὴ σιωπῶσα. (Vit. Hom.)

THÈME V

1. Τὸ κάλλος ἐστὶν ὀλιγοχρόνιον εὐτύχημα, ἀπαράμονον ἀγαθὸν, ἄνθος μαραινόμενον. (Secund. sent.)

2. Ὁ Ἰησοῦς μετεμορφώθη ἔμπροσθεν τῶν μαθητῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης λέγουσα. « Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. » (Matth. 17; Marc. 9.)

3. Πηγὴ καὶ μήτηρ καὶ ῥίζα φρονήσεως ἡ ἀρετή· ὥσπερ καὶ πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν. Ὁ δὲ ἐνάρετος καὶ Θεοῦ φόβον ἔχων πάντων ἐστὶ συνετώτατος. (S. Chrys. ap. Stob. 29.)

Influence de l'Article sur le sens des mots.

THÈME VI

1. Θεόκριτος τοὺς πολλοὺς τῶν πλουσίων ἔλεγεν ἐπιτρόπους εἶναι, ἀλλὰ μὴ δεσπότας τῶν χρημάτων. (Stob. 13.)

2. Οὐ χρόνων ποσότητι, ἀλλὰ διαθέσει ψυχῆς ἡ μετάνοια κρίνεται. Πολλοὶ γοῦν ἔσχατοι γενόμενοι ἐν τῇ εὐσεβείᾳ, τοὺς πρώτους ὑπερηκόντισαν. (S. Chrysost. t. I, p. 9, a.)

3. Αὐτὸς ὁ Δαρεῖος ἐν' Ἰσσῷ τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος ἐστὶ τοῖς Περσῶν βασιλεῦσι τετάχθαι. (Arr. Anab. II, 8.)

4. Τὸ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὐτὸν, μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ, ἀργαλέον ἐστὶ πρᾶγμα; Ταῦτα δὲ πάσχουσιν οἱ τύραννοι, ὦ Σιμωνίδη. (Xén. *Hiér*. VI. 4.)

THÈME VII

Tout passe.

1. Περίβλεψον τὸν κόσμον ἅπαντα, ἐν ᾧ κατοικεῖς· καὶ ἐννόησον ὅτι πάντα θνητὰ τὰ ὁρώμενα, καὶ πάντα φθορᾷ ὑποκείμενα. Ἀνάβλεψον πρὸς τὸν οὐρανὸν, καὶ

οὗτός ποτε λυθήσεται · πρὸς τὸν ἥλιον, οὐδὲ οὗτος διαμενεῖ. Οἱ ἀστέρες σύμπαντες, ζῶα χερσαῖα καὶ ἔνυδρα, τὰ περὶ γῆν κάλλη, αὐτὴ ἡ γῆ, πάντα φθαρτὰ, πάντα μικρὸν ὕστερον οὐκ ἐσόμενα. (S. Bas. Ep. 6.)

2. Οὐκ ἐδόκει τῷ τῶν Ἀθηναίων νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν, δημοσίᾳ δὲ χρηστόν.

3. Κεραμεὺς, ἁπαλὴν γῆν θλίβων πάλαι, τῶν τε καθαρῶν ἔργων τῶν τε ἐναντίων δοῦλα σκεύη, καὶ θεοὺς ματαίους, ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνέπλασσεν (Sap. 15.)

Ellipse.

THÈME VIII

1. Ἆγις ὁ Ἀρχιδάμου τοὺς Λακεδαιμονίους οὐκ ἔφη ἐρωτᾶν, « Πόσοι εἰσὶν πολέμιοι; » ἀλλὰ, « Ποῦ εἰσιν; » (Plut. *Apoph. Lac.*)

2. Οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. (Paul. Gal. V, 24.)

3. Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. (Matth. 22, 21.)

4. Ἐπειδὴ τὸν Ἰουλιανὸν ἐθεασάμην, εὐθὺς ἐφθεγξάμην · Οἷον κακὸν ἡ Ῥωμαίων[1] τρέφει! (S. Grég. Naz. Or. 5, 24.)

[1] Sous-entendez γῆ, comme au § 226 de la syntaxe, 3e exemple.

DE L'ADJECTIF

Accord de l'Adjectif.

THÈME IX

Βασίλειος Κανδιδιανῷ

Ἀνήρ τις ἄγροικος τῶν συνοικούντων ἡμῖν, ἀθρόον, μετά τινων ὁμοίων αὐτῷ τὴν ἀπόνοιαν, ἐπιθέμενος ἡμῶν τῇ οἰκίᾳ, τά τε γύναια τὰ φυλάττοντα συνέτριψε τύπτων, καὶ καταῤῥήξας τὰς θύρας ἐξεφόρησεν ἅπαντα. Ἵν' οὖν

μὴ ὁ ἔσχατος ὅρος ἡμεῖς τῆς ἀσθενείας ὦμεν, ἣν ἐν πᾶσι τοῖς πράγμασιν ἡμῶν σπουδὴν ἐπιδέδειξαι, καὶ νῦν εἰσενέγκασθαι σε παρακαλοῦμεν. Γένοιτο δ' ἂν ἡμῖν ἀρκοῦσα δίκη, εἰ ἐν τῷ δεσμωτηρίῳ βραχὺν κατακλεισθείη χρόνον. (S. Bas. Ep. 3.)

THÈME X

1. Ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν. (Demosth. Ol. II, 1.)

2. Τὸ ἐκ τῆς μελῳδίας τερπνὸν ὁ ψαλμιστὴς τοῖς δόγμασιν ἐγκατέμιξεν, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἳ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσιν. (S. Bas. Ps. I.)

3. Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὀνίνησι. (S. Greg. Nyss. ap. Stob., 10.)

THÈME XI

1. Οἱ μὲν κωτίλοι καὶ λάλοι τῶν ὀρνίθων εἰσὶν, οἱ δὲ σιγηλοί. Γαῦρον ὁ ἀλεκτρυὼν, φιλόκαλον ὁ ταὼς, δολερὸν ὁ πέρδιξ. (S. Bas. Hex. VIII.)

2. Κουφότατον ἵπποι καὶ ὠκύτατον, ἀνθρώποις δὲ θέουσι. Μάχιμον κύων καὶ θυμοειδὲς, ἀλλ' ἄνθρωπον φυλάττει · ἥδυτατον ἰχθὺς, ἀνθρώποις δὲ τροφὴ καὶ ὄψον ἐστίν. (Plut. *de Fort.*)

3. Ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει · εὔπλαστον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται. (Plut. *de Lib. educ.*)

Régime des Adjectifs

THÈME XII

1. Εἶπεν ὁ Σολομών · « Κύριε, δός μοι τὴν σοφίαν, ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσι μου σωφρόνως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου. » (Sap. 9.)

2. Πᾶς ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. (Plat. Leg. V, p. 728, a.)

3. Ἤδει σαφῶς ὁ Δαυὶδ ὅτι οὐχ ὁ πάσχων κακῶς, ἀλλ' ὁ ποιῶν, οὗτός ἐστι δακρύων ἄξιος καὶ θρήνων, ἑαυτὸν καταβλάπτων. (S. Chrys. IV, 780, d.)

THÈME XIII

1. Οὗτος ὁ νόμος ἦν φυλαττόμενος παρὰ τοῖς Ἀθηναίοις · Βοῦν ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ, ἢ καὶ σὺν τῇ ἁμάξῃ, μὴ θύειν · ὅτι καὶ οὗτός ἐστι γεωργὸς καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός. (Æl. *H. V*, V, 14.)

2. Τὸν ψευδόμενον κολάσει ὁ ἄρχων, ὡς ἐπιτήδευμα εἰσάγοντα πόλεως ἀνατρεπτικόν τε καὶ ὀλέθριον. (Plat. Rep. III, p. 339, d.)

3. Ὦ Ἡδονή, καίπερ ἀθάνατος οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ · τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος · οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. (Xen. M. S. II, 1.)

THÈME XIV

1. Οἱ Λακεδαιμόνιοι εἰς Ἀθήνας ὕστεροι ἀφίκοντο τῆς ἐν Μαραθῶνι γενομένης μάχης μιᾷ ἡμέρᾳ. (Plal. Leg. Ill, 698, e.)

2. Δοκεῖ ἕτερον εἶναι σωφροσύνης σοφία. (Plat. Prot. 333, a.)

Avantages de la paix.

3. Ἐὰν τὴν εἰρήνην ποιησώμεθα, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων καὶ κινδύνων· καθ' ἑκάστην δὲ τὴν ἡμέραν ἀδεῶς γεωργοῦντες, καὶ θάλατταν πλέοντες, ὀψόμεθα τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους λαμβάνουσαν, μεστὴν δὲ γενομένην ἐμπόρων καὶ ξένων, ὧν νῦν ἔρημος καθέστηκεν. (Isocr. de Pac.)

THÈME XV

1. Συμβούλευε μὴ τὰ ἥδιστα ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις. (Solon.)

2. Ὁ Σολομὼν ἔλεγεν· Εἰμὶ κἀγὼ θνητὸς ἄνθρωπος, ἴσος ἅπασιν, καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην, καὶ ἐπὶ τὴν γῆν κατέπεσον, τὴν πρώτην φωνὴν ὁμοίαν πᾶσι κλαίων, καὶ ἐν σπαργάνοις ἀνετράφην. Οὐδεὶς γὰρ βασιλεὺς ἔσχεν ἑτέραν γενέσεως ἀρχήν. (Sap. 7.)

THÈME XVI

1. Νόμιζε τῆς αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν. (Isocr. Nic. 12.)

2. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. (S. Jac V. 17.)

3. Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει καὶ τὸ λυσιτελές. (Démoph. Simil.)

4. Ὅταν ὁ νοῦς ὑπ' οἴνου διαφθαρῇ, αὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσι. (Isocr. Demon. 4.)

THÈME XVII

Portrait d'Alexandre.

Ἀλέξανδρος ἦν τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος, καὶ τὴν γνώμην ἀνδρειότατος καὶ φιλοτιμότατος

καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος· ἡδονῶν δὲ τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης, ἐπαίνου μόνου ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον, ἔτι ἐν ἀφανεῖ ὄν, δεινότατος· καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος· καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι, καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὐτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. (Arr. Anab. VII, 28.)

THÈME XVIII

1. Μίλωνος τὴν ῥοιὰν ἣν ἐν τῇ χειρὶ κατεῖχεν, οὐδεὶς τῶν ἀντιπάλων ἑλεῖν ἐδύνατο. Ἀλλ' εἰ ἰσχυρὸς μὲν τὸ σῶμα ἦν, ἀνδρεῖος δὲ τὴν ψυχὴν οὐκ ἦν. (Ӕl. *H. V.* II, 24.)

2. Ἀλέξανδρος ὁ τῶν Ῥωμαίων βασιλεὺς φόνων τε καὶ ὠμότητος ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικώτερον ἐπιῤῥεπής. (Herodn. VI, 9.)

3. Ἐπειδὴ εἶδε τὸ Πνεῦμα τὸ ἅγιον δυσάγωγον πρὸς ἀρετὴν τὸ γένος τῶν ἀνθρώπων, καὶ διὰ τὸ πρὸς ἡδονὴν ἐπιρρεπὲς τοῦ ὀρθοῦ βίου καταμελοῦντας ἡμᾶς, τί ποιεῖ; Τὰ ἐναρμόνια ταῦτα μέλη τῶν ψαλμῶν ἡμῖν ἐπενόησεν, ἵνα οἱ παῖδες τὴν ἡλικίαν, ἢ καὶ ὅλως οἱ νεαροὶ τὸ ἦθος, τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς ψυχὰς ἐκπαιδεύωνται (S. Bas. *Ps.* 1.)

Comparatif et Superlatif.

THÈME XIX

1. Ψυχῆς ἁγνῆς τόπον οἰκειότερον ἐπὶ γῆς οὐκ ἔχει Θεός. (Demoph. Sent.)

2. Φύλασσε τρόπου καλοκαγαθίαν, ὅρκου πιστοτέραν. (Solon, ap. Stob. 28.)

3. Γνώμη κρείσσων ἐστὶν ἢ ῥώμη χείρων. (Stob.

4. Δουλεύειν πάθεσι χαλεπώτερον ἢ τυράννοις. (Demoph. Sent.)

5. Τεθνάναι πολλῷ κρεῖσσον ἢ δι' ἀκρασίας σώματος τὴν ψυχὴν ἀμαυρῶσαι.

6. Διογένης ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνούς, ἔφη· « Λυσιτελέστερον ἐστι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν. »

THÈME XX

1. Τοὺς διαβόλους μᾶλλον ὁ Ἀγησίλαος ἢ τοὺς κλέπτας ἐμίσει, μείζω ζημίαν ἡγούμενος φίλων ἢ χρημάτων στερίσκεσθαι.

2. Οὐ πάνυ τι ῥάδιον ἐστι τῶν ἀρετῶν τὴν νικῶσαν εὑρεῖν, ὥσπερ οὐδὲ ἐν λειμῶνι πολυανθεῖ καὶ εὐώδει τῶν ἀνθέων τὸ κάλλιστον τε καὶ εὐωδέστατον (S. Greg. Naz. Or. XIV, 1.)

THÈME XXI

1. Ὁ Βασιλεὺς τῶν Ἀρμενίων πρόσθεν μὲν καὶ σύμμαχος ἦν καί ὑπήκοος τοῖς Μήδοις· ὡς δὲ ᾔσθετο τοὺς Λυδίους αὐτοῖς ἐπιόντας, οὔτε τὸ στράτευμα ἔπεμπεν, οὔτε τὸν δασμὸν ἀπεδίδου. Κῦρος δὴ ἄγγελον μὲν προέπεμπε πρὸς τὸν Ἀρμένιον, προειπὼν αὐτῷ λέγειν ὧδε· « Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν σε, ὅπως ὡς τάχιστα ἔχων οἴσεις τὸν δασμὸν καὶ τὸ στράτευμα. » Αὐτὸς δὲ Κῦρος συνταξάμενος ᾗ ἄριστον τὸ στράτευμα καὶ πρὸς τὸ ἀνύτειν τὴν ὁδὸν καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. (Cyr. II, 4, 32.)

2. Εἰ τὰ ἁμαρτήματα μετὰ τοσαύτης ἐξετάζεται τῆς ἀκριβείας, ὡς καὶ ῥημάτων καὶ ἐνθυμημάτων τιννύειν τιμωρίας ἡμᾶς· πολλῷ μᾶλλον τὰ κατορθώματα, κἂν

μεγάλα ᾖ κἂν μικρὰ, λογιεθήσεται ἡμῖν κατὰ τὴν τῆς κρίσεως ἡμέραν. (S. Chrys. t. I, p. 11, d.)

DU PRONOM

THÈME XXII

1. Τοῖς μὴ θέλουσιν ἑαυτοῖς προστάττειν ἐκπονεῖν τἀγαθὰ, ἄλλους αὐτοῖς ἐπιτακτῆρας ὁ Θεὸς δίδωσι. (Xenoph. Cyr. II, 3, 4.)

2. Ὥσπερ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα καὶ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτῃ δὴ καὶ οἱ χρηματισάμενοι περὶ τὰ χρήματα σπουδάζουσιν, ὡς ἔργον ἑαυτῶν. Χαλεποὶ οὖν καὶ ξυγγενέσθαι εἰσὶν, οὐδὲν ἐθέλοντες ἐπαινεῖν, ἀλλ' ἢ τὸν πλοῦτον. (Plat. Rep. I, 330. B.)

THÈME XXIII

1. Δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται. (Sap. 11.)

2. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. (Isoc. Dem. 4.)

3. Πολλάκις ὃν τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. (Isocr. Dem. 4.)

4. Ἀγησίλαος, ἐπιζητοῦντος τινος τίνα δεῖ μανθάνειν τοὺς παῖδας; « Ταῦτ' εἶπεν, οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται. » (Plut. *Apoph. Lac.* Ages. 67.)

THÈME XXIV

1. Τὰ ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ διακοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες, καὶ πολλοὺς ἐπήγειραν πρὸς ἀνδρείαν ἑκάτεροι. Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ

τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. (S. Bas. *in* 40 *Mart.*)

2. Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι. (Stob. 33.)

THÈME XXV

1. Ἐκκλησίας γενομένης, Φωκίων πρὸς τὸν εἰπόντα, « Σκεπτομένῳ, ὦ Φωκίων, ἔοικας, » — « Ὀρθῶς, » ἔφη, « τοπάζεις· σκέπτομαι γὰρ εἴ τι δύναμαι περιελεῖν ὧν μέλλω λέγειν πρὸς Ἀθηναίους. » (Plut. *Apoph.*) Phoc. 2.).

2. Τὸν ἀγαθὸν ἄνδρα οὔτε καιρὸς οὔτε κέρδος οὐδέποτε προηγάγετο, ὧν ἔκρινε δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι. (Dém. *Ctesiph.*)

3. Οἱ τρεῖς παῖδες ἔλεγον· « Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. » (S. Chrys. II. 17.)

DU VERBE

THÈME XXVI

Beau sentiment d'Agésilas.

1. Καλόν ἐστιν Ἕλληνα ὄντα φιλέλληνα εἶναι. Ἀγησίλαος τοίνυν, ἀγγελίας ἐλθούσης αὐτῷ ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ μύριοι τῶν πολεμίων τεθναῖεν, οὐκ ἐφησθεὶς φανερὸς ἐγένετο, ἀλλ' εἶπεν ἄρα· « Φεῦ ὦ Ἑλλάς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες νικᾶν μαχόμενοι πάντας τοὺς βαρβάρους. » (Xenoph. Ages. 7.)

2. Δυσχερὲς σωφρονοῦντα πλουτεῖν, ἢ πλουτοῦντα σωφρονεῖν. (Epict. *frag.* 21.)

3. Τοιοῦτος ὁ βίος ἡμῶν τῶν ζώντων πρόσκαιρα, τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι. Ὄναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμὶς, ἑωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον καὶ καιρῷ λυόμενον. (Greg. Naz. Or. VII, 19.)

THÈME XXVII

Ἰὼβ μείζονα τὴν πληγὴν ἔδωκε τῷ διαβόλῳ ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν ἢ ὅτε κεκτημένος ἠλέει τοὺς πένητας. Τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τὸ πάντα ἀφαρπαγέντα γενναίως ἐνεγκεῖν, καὶ μετ' εὐχαριστίας, πολλῷ μεῖζόν ἐστι. (S. Chrys. II, 16, A.)

THÈME XXVIII

1. Τὰ φρέατα ἐξαντλούμενα εὐροώτερα γίνεται, ἐναφιέμενα δὲ κατασήπεται· καὶ πλούτου τὸ μὲν στάσιμον ἄχρηστον, τὸ δὲ κινούμενον καὶ μεταβαῖνον κοινωφελές τε καὶ ἔγκαρπον. (S. Bas. de Av. 5.)

2. Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ. (Gnom.)

3. Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους. (Menandre.)

4. Μή μοι γένοιθ' ἃ βούλομαι, ἀλλ' ἃ συμφέρει. (Gnom.)

Régime direct.

THÈME XXIX

Le Coq.

1. Ἐπ' ἔργα διεγείρει σε ὁ σύνοικος ὄρνις, ὀξεία τῇ φωνῇ ἐμβοῶν καὶ καταμηνύων πόῤῥωθεν, ἔτι τὸν ἥλιον προσελαύνοντα, ὁδοιπόροις συνδιορθρίζων, γεωργοὺς δὲ ἐξάγων πρὸς ἀμητόν. (S. Bas. Hex. 8.)

2. Δεῦτε, τέκνα, ἀκούσατέ μου · φόβον Κυρίου διδάξω ὑμᾶς. (Ps. 33.)

3. Κύριε, κλῖνον οὐρανούς σου, καὶ κατάβηθι · ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. (Ps. 103, 5.)

THÈME XXX

1. Ὥσπερ οἱ λῃσταὶ οὐκ ἔνθα χόρτος καὶ ἄχυρα καὶ καλάμη, ἀλλ' ἔνθα χρυσίον καὶ ἀργύριον, ἐκεῖ διορύττουσι, καὶ συνεχῶς ἀγρυπνοῦσιν · οὕτω καὶ ὁ διάβολος τούτοις μάλιστα ἐπιτίθεται τοῖς πνευματικῶν ἁπτομένοις πραγμάτων. Ἐκεῖ πολλαὶ αἱ ἐπιβουλαὶ, ἔνθα ἀρετή. (S. Chrys. II, 17, A.)

2. Ἐπειδὰν ἅπαξ ψυχὴ γεύσηται ἡδονῶν ὑπὲρ τὴν αὐτῆς χρείαν, κόρος αὐτὴν προτέρων ἔχει, καὶ ἑτέρων ἐρᾷ. Καὶ τὸ Ταντάλου αἴνιγμα τοῦτο ἦν ἄρα, δίψα διηνεκὴς ἀνδρὸς φιληδόνου. (Max. Tyr. IV, 4.)

THÈME XXXI

1. Σάλπιγγος σημαινούσης, λέγει ὁ ἵππος « Εὖγε · » πόρρωθεν δὲ ὀσφραίνεται πολέμου χρεμετίζων καὶ ἁλλόμενος. (Job. 39.)

2. Τὸ ῥόδον ποτὲ ἄνευ ἀκάνθης ἦν, ὕστερον δὲ τῷ κάλλει τοῦ ἄνθους ἡ ἄκανθά παρεζεύχθη, ἵνα τῷ τερπνῷ τῆς ἀπολαύσεως ἐγγύθεν ἔχωμεν παρακειμένην τὴν λύπην, μεμνημένοι τῆς ἁμαρτίας, δι' ἣν ἀκάνθας καὶ τριβόλους ἡμῖν ἀνατέλλειν ἡ γῆ κατεδικάσθη. (S. Bas. Hex. V.)

De la Reconnaissance.

3. Εἰ μέν τινι ὑμῶν ἀπηχθόμην, μέμνησθε καὶ οὐ σιωπᾶτε · εἰ δέ τῳ ἢ χειμῶνα ἐπεκούρησα, ἢ πολέμιον ἀπήρυξα, ἢ ἀσθενοῦντι ἢ ἀποροῦντι ξυνεπόρισά τι, τούτων οὐδεὶς μέμνηται · οὐδ' εἴ τινα καλῶς τι ποιοῦντα ἐπῄνεσα, οὐδ' εἴ τιν' ἄνδρα ὄντα ἀγαθὸν ἐτίμησα ὡς ἐδυνά-

μὴν, οὐδὲ τούτων μέμνησθε. Ἀλλὰ μὴν καλόν γε, καὶ δίκαιον, καὶ ὅσιον, καὶ ἥδιον τῶν ἀγαθῶν μᾶλλον ἢ τῶν κακῶν μεμνῆσθαι. (Xenoph. *Anab.* V, 8.)

4. Εἰσὶν οἳ ὑπὸ βραχείας τοῦ πονηροῦ προσβολῆς καὶ ὀλίγου πειρασμῶν καύσωνος, ἐξηράνθησαν καὶ ἀπέθανον. Τούτους ἔγωγε οὐκ αἰσθανομένους τῆς ἑαυτῶν ἀπωλείας ἀποδύρομαι. (S. Greg. Naz. Or. 4, 11.)

THÈME XXXII

Monarchie et République.

Οἱ μὲν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢ καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ' οὖν ταῖς γ' ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. Ἔπειθ' οἱ μὲν πολλῶν καταμελοῦσιν εἰς ἀλλήλους ἀποβλέποντες, οἱ δὲ οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες ὅτι πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι. (Isocr. *Nicoc.* 17.)

THÈME XXXIII

1. Μὴ μεγάλων δεῖ ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν, ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. (Isocr. *de Pace*, 6.)

2. Μάλιστα γ' ἂν παροξυνθείης ὀρέγεσθαι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίας ἔχομεν. (Isocr. *Dem.* 46.)

THÈME XXXIV

Ὡς εἶδε τὸν Κῦρον ὁ Γωβρύας ἔλεξεν ὧδε· « Ὁ βασιλεὺς τῶν Ἀσσυρίων τὸν ἐμὸν υἱὸν παρεκάλεσεν εἰς θήραν. Ὁ μὲν οὖν ὡς φίλῳ συνεθήρα. Λέοντος δὲ παρατυχόντος ὁ μὲν βασιλεὺς ἥμαρτεν, ὁ δ' αὖ ἐμὸς παῖς τυχὼν κατειργάσατο. Ἐν τούτῳ δὲ οὐ κατίσχει ὁ ἀνόσιος τὸν φθόνον,

ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς στέρνα τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο τὴν ψυχήν. « (*Cyrop.* IV, 6.)

THÈME XXXV

1. Ὁ Λεωνίδης καὶ οἱ σὺν αὐτῷ τριακόσιοι τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις · καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλους ἔτυχον εὐκλεοῦς, καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον καὶ φήμην ἀγαθὴν δι' αἰῶνος. (Ælian. V. H. III, 25.)

Conseil à un roi.

2. Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων, καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. (Isoc. *Nic.* 23.)

3. Τῶν βασιλέων τοὺς φόβους καὶ τοὺς κινδύνους ἐγὼ λογιζόμενος, ὁπωσοῦν ζῆν ἡγοῦμαι λυσιτελεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν. (Isocr. *Nic.* 17.)

THÈME XXXVI

1. Ἄγρυπνος ἡ ἀηδὼν, ὅταν ἐπωάζῃ, διὰ πάσης νυκτὸς τῆς μελῳδίας μὴ ἀπολήγουσα. (S. Bas. *Hex.* VIII.)

2. Τῶν Αἰγυπτίων οἱ νεώτεροι τοῖσι πρεσβυτέροισι συντυγχάνοντες εἴκουσι τῆς ὁδοῦ καὶ ἐκτρέπονται, καὶ ἐπιοῦσι ἐξ ἕδρης ὑπανιστέαται. (Hérodote. II, 80.)

3. Μέλλων ἀποθνήσκειν ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς· « Ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματι μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα. » (Joan. XIV, 26.)

THÈME XXXVII

1. Οἱ μὲν ἄλλοι τεχνῖται ἀποκρύπτονται πως τὰ

ἐπικαιριώτατα ἧς ἕκαστος ἔχει τέχνης, ὁ δὲ γεωργὸς ὅ τι ἔροιο ἀποκρίναιτο, καὶ τῶν καλῶς πεποιημένων οὐδὲν ἄν σε ἀποκρύψαιτο. (Apud Kenrick.)

2. Παντὶ τῷ αἰτοῦντί σε δίδου. (S. Luc, VI, 30.)

3. Τίς ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς ἄρτον, λίθον ἐπιδώσει αὐτῷ; Πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτὸν; (S. Matth. 7.)

Régime indirect.

THÈME XXXVIII

Mort de Cyrus.

1. Ἀσκὸν πλήσασα αἵματος ἀνθρωπηΐου Τόμυρις ἐδίζητο ἐν τοῖσι τεθνεῶσι τῶν Περσέων τὸν Κύρου νέκυν, ὡς δὲ εὗρε, ἐναπῆκε αὐτοῦ τὴν κεφαλὴν ἐς τὸν ἀσκόν. Λυμαινομένη δὲ τῷ νεκρῷ ἐπέλεγε τάδε · « Σὺ μὲν ἐμὲ ζώουσαν τε καὶ νικῶσαν σε μάχῃ ἀπώλεσας, παῖδα τὸν ἐμὸν ἑλὼν δόλῳ · σὲ δ' ἐγὼ, κατάπερ ἠπείλησα, αἵματος κορέσω. « Τὰ μὲν δὴ κατὰ τὴν Κύρου τελευτὴν τοῦ βίου, πολλῶν λόγων λεγομένων ὅδε μοι ὁ πιθανώτατος εἴρηται. (Herodt. I, 214.)

2. Οὐδὲν οὕτως εἰς ἀπόνοιαν αἴρειν εἴωθεν, ὡς συνειδὸς γέμον κατορθωμάτων καὶ ψυχὴ μετὰ παῤῥησίας ζῶσα. Ἵνα οὖν μηδὲν τοιοῦτον πάσχωσιν οἱ ἅγιοι, τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις ὁ Θεὸς εἶναι συνεχώρησε, δυναμένας αὐτοὺς καταστέλλειν καὶ πείθειν μετριάζειν ἐν ἅπασι. (S. Chrys. II, 10 a.)

THÈME XXXIX

1. Ἔθος ἐστὶ τῷ Κυρίῳ τοὺς ἐναρέτους ἄνδρας οὐκ ἀπαλλάττειν τῶν κινδύνων οὐδὲ ἐλευθεροῦν τῶν πειρασμῶν, ἀλλ' ἐν τοῖς κινδύνοις τὴν οἰκείαν ἐπιδείκνυσθαι

ῥοπήν, καὶ τοὺς πειρασμοὺς αὐτοῖς ὑπόθεσιν ποιεῖν ἑορτῆς. (S. Chrys. IV, 595, e.)

2. Ἡ τῶν Μακκαβαίων μήτηρ ἑπτὰ παίδων εἶδε θάνατον, καὶ οὐκ ἐστέναξεν, οὐδὲ ἀφῆκεν ἀγεννὲς δάκρυον· ἀλλ' εὐχαριστοῦσα τῷ Θεῷ, ὅτι ἔβλεπεν αὐτοὺς πυρὶ καὶ σιδήρῳ καὶ ταῖς χαλεπωτάταις αἰκίαις τῶν δεσμῶν τῆς σαρκὸς λυομένους, εὐδόκιμος μὲν παρὰ Θεῷ, ἀοίδιμος δὲ παρ' ἀνθρώποις ἐκρίθη. (S. Bas. *Ép*. 6.)

THÈME XL

1. Ὥσπερ ἀθληταί τινες, διὰ τό πολὺ κρατιστεῦσαι καταρραθυμήσαντες, ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους οἶμαι πολὺ τῶν ἄλλων διενεγκόντας ἀμελῆσαι ἑαυτῶν καὶ διὰ τοῦτο χείρους γεγονέναι. (Xen. M. S. III, 5, 13.)

Oligarchie. Démocratie.

2. Οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις ὑστεροῦσι τῶν πραγμάτων · τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν δ' εἰς τὰ συνέδρια συνέλθωσι, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους. Οἱ δ' ἐν ταῖς μοναρχίαις τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπουσι τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσι. (Isocr. *Nicocl*. 35.)

THÈME XLI

Résultat de la première expédition des Athéniens en Sicile.

Σπονδὰς ποιήσαντες οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπέπλευσαν ἐκ Σικελίας. Ἐλθόντας δὲ οἱ ἐν τῇ πόλει Ἀθηναῖοι, τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο, ὡς, ἐξὸν αὐτοῖς, τὰ ἐν Σικελίᾳ καταστρέψασθαι, δώροις πεισθέντες

ἀποχωρήσειαν. Οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. (Thuc. IV. 65.)

THÈME XLII

Σοφοκλῆς ὁ τραγῳδοποιὸς ὑπὸ Ἰοφῶντος τοῦ υἱέος, τέλει τοῦ βίου, παρανοίας κρινόμενος, ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος ὅπως τὸν νοῦν ὑγιάνει · ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. (Lucian. Macrob. 24.)

THÈME XLIII

1. Εἰ τῶν ἐπὶ γῆς ἀνθρώπων ὁ παραβαίνων τοὺς νόμους ἀπαραίτητον ὑφίσταται τὴν κόλασιν, πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις ὁ τοῦ ἐπουρανίου δεσπότου ἀθετῶν τὰ προστάγματα; (S. Chrys. ap. Stob. 2.)

2. Οὔτε τὰ τῶν ἡρώων ὅπλα τῷ Θερσίτῃ, οὔτε τὰ τῆς τύχης ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει. (Stob. II.)

3. Τοῖς βασιλεῦσι προσήκει πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι. (Isocr. *Nicocl.* 18.)

THÈME XLIV

1. Τοῖς στρατηγοῖς τῶν Ἑλλήνων, μετὰ τὸ Κῦρον τελευτῆσαι, ἔδοξε τάδε · Ἢν μέν τις ἐᾷ ἡμᾶς ἀπιέναι οἴκαδε, διαπορεύεσθαι τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα· ἢν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διαπολεμεῖν τούτῳ ὡς ἂν δυνώμεθα κράτιστα. (Xen. *Anab*. III.)

2. Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι. (Demoph. *Simil.*)

3. Τροφαῖς ἐχρῶντο παλαιοὶ ἀκρατίσμασιν, ἀρίστῳ, ἑσπερίσμασι, δείπνῳ. (Athén. 1, p. 11.)

THÈME XLV

1. Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μὴ προθέμενον αὐτὴν ὡς ἐσχάτην βιῶσαι. (Muson. ap. Stob. I.)

2. Ἐπαμινώνδας ἐρωτηθεὶς τί ἥδιστον αὐτῷ γέγονεν, ἀπεκρίνατο · « Τὸ τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς νικῆσαι τὴν ἐν Λεύκτροις μάχην. » (Plut. *An. Sen.*)

THÈME XLVI

1. Αἰσχίνης ὁ ῥήτωρ, μετὰ τὸ Ἀθηναίους αὐτοῦ καταψηφίσασθαι, Δημοσθένους αὐτῷ μυρίας ἀττικὰς πέμψαντος καὶ γενναίως τὴν περίστασιν φέρειν παρακαλοῦντος · « Καὶ πῶς, ἔφη, δύναμαι μὴ λυπεῖσθαι ταύτης ἐκβαλλόμενος πατρίδος ἐν ᾗ οἱ ἀδικηθέντες καὶ προσωφελοῦσι τοὺς ἀδικοῦντας ; » (Stob. IX.)

2. Δεῖ ὥσπερ Σειρῆνας τὰς ἡδονὰς παρελθεῖν τὸν κατασπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὡς πατρίδα. (Demoph. *Simil.*)

THÈME XLVII

Ἡ μὲν ἔξωθεν παίδευσις πολὺν ἀνελίττουσα λῆρον, καὶ πολλὴν καταχέουσα τῶν ἀκροατῶν φλυαρίαν, κεναῖς τοὺς ἀκροατὰς ἀποπέμπει χερσὶ, καὶ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν καρπωσαμένους καλόν · ἡ δὲ τοῦ Πνεύματος χάρις οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν διὰ μικρῶν ῥημάτων πᾶσι τοῖς προσέχουσι φιλοσοφίαν ἐντίθησι · καὶ ἀρκεῖ ῥῆμα πολλάκις ἓν λαβόντας ἐντεῦθεν πάσης τῆς ζωῆς ἔχειν ἐφόδιον. (S. Chrys. II, 3, a.)

THÈME XLVIII

1. Ἰουλιανὸς ὁ ἀποστάτης τῷ κλήρῳ φέρων ἑαυτὸν ἐγκατέλεξεν, ὥστε καὶ τὰς θείας ὑπαναγινώσκειν τῷ λαῷ βίβλους. (S. Greg. Naz. *Or.* 4, 33.)

2. Ἀπέθανε Γάλλος ὑπὸ τοῦ Κωνσταντίου. Τάχα δ' ἂν

τις ἀμφοτέρους οὐκ ἐπαινέσειεν · εἰ μὴ δι' ὧν τοῦ ἑτέρου κατηγορήσομεν, τὸν ἕτερον αἰτίας ἀφήσομεν. (S. Greg. Naz. Or. 4, 33.)

THÈME XLIX

1. Ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ. (Solon, ap. Stob. 28.)

2. Οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τεθνάναι αὐτοῖς ἥκιστα τῶν ἀνθρώπων φοβερόν. (Plat. *Phœd.*)

3. Αἱροῦ τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς. (Isocr. *Nic.* 25.)

4. Οἱ πολλὰ πταίοντες καὶ μὴ κολαζόμενοι, δεδοικέναι ὀφείλουσιν · αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς μακροθυμίας τοῦ Θεοῦ. (S. Chrys. ap. Stob. 17.)

THÈME L

Mort de S. Jacques.

Ἄνανος ὁ νεώτερος καθίσας συνέδριον κριτῶν καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ (Ἰάκωβος ὄνομα αὐτῷ), ὡς παρανομήσαντος κατηγορίαν ἐποιήσατο καὶ παρέδωκε λευσθησόμενον. Ὅσοι δὲ ἐδόκουν τὰ περὶ τοὺς νόμους ἀκριβεῖς βαρέως ἤνεγκαν ἐπὶ τούτῳ · καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα, παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν · μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. (Joseph. *Ant. J.* 20, 9.)

THÈME LI

1. Πρὶν ἢ λαβεῖν τὴν αἴτησιν, οὐ παυσόμεθα τὸν Θεὸν αἰτοῦντες. (S. Chrys.)

2. Ἴδοις ἂν μυρίας ἀγέλας γυπῶν τοῖς στρατοπέδοις παρεπομένας, ἐκ τῆς τῶν ὅπλων παρασκευῆς τεκμαιρομένων τὴν ἔκβασιν. (S. Bas. *Hex.* 8.)

3. Μὴ περιΐδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν · ἀλλ' ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. (Isocr. *Nic.* 25.)

Régime du verbe passif.

THÈME LII

Τὰ εὐαλωτότερα τῶν ζώων, πολυγονώτερα. Διὰ τοῦτο πολυτόκοι λαγωοὶ, καὶ αἶγες ἄγριαι καὶ πρόβατα ἄγρια διδυμοτόκα, ἵνα μὴ ἐπιλείπῃ τὸ γένος ὑπὸ τῶν ὠμοβόρων ἐκδαπανώμενον. Τὰ δὲ φθαρτικὰ τῶν ἄλλων, ὀλιγοτόκα. Ὅθεν λέοντος ἑνὸς μόλις ἡ λέαινα μήτηρ γίνεται. (S. Bas. *Hex.* IX, 5.)

THÈME LIII

Utilité des congés.

1. Ὥσπερ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δὲ ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται, καὶ ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστιν. (Plut. *De Liber. ed.* 13.)

2. Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ καταναλίσκεται · ὁ δὲ πλοῦτος ἐκτρέφων τοὺς κόλακας ὑπ' αὐτῶν διαφθείρεται. (Stob. 12.)

THÈME LIV

Avis aux riches.

Μνήσθητι σεαυτοῦ τίς εἶ, τί οἰκονομεῖς, παρὰ τίνος ἔλαβες, διὰ τί τῶν πολλῶν προεκρίθης. Ἀγαθοῦ Θεοῦ γέγονας ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων · μὴ πάντα οἴου τῇ γαστρὶ τῇ σῇ παρεσκευάσθαι. Ὡς περὶ ἀλλοτρίων

βουλεύου τῶν ἐν χερσίν · μικρὸν εὐφραίνει σε χρόνον, εἶτα διαρρυέντα οἰχήσεται, τὸν δ' ἐπ' αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ ἀκριβείας, (S. Bas. *de Av.* 2.)

THÈME LV

1. Τὰς εὐθύνας ἀπαιτηθησόμεθα τῆς ἐνθάδε ζωῆς. (S. Chrys. t. I, p. 18, *e*.)

2. Ἰωσὴφ καὶ νέος καὶ ξένος καὶ αἰχμάλωτος καὶ δοῦλος πᾶσαν ἐγχειρίζεται παρὰ τοῦ δεσπότου τὴν οἰκίαν. (S. Chrys. t. IV, p. 595, *d.*)

3. Συληθεὶς ὁ Ἡρακλῆς τὰς βοῦς ὑπὸ Νηλέως καὶ τῶν παίδων, πλὴν ὑπὸ Νεστορος, λαϐὼν Μεσσήνην αἰχμάλωτον τοὺς μὲν ἀδικήσαντας ἀπέκτεινεν, Νέστορι δὲ παρακατατίθεται τὴν πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν, ὅτι νεώτατος ὢν οὐ ξυνήμαρτε τοῖς ἀδελφοῖς. (Isocr. *Archid.* 6.

DES TEMPS

THÈME LVI

1. Μετ' ἀκριϐείας ἐνήστευεν ὁ ἅγιος Τιμόθεος, καὶ οὐκ ἔπαθε τοῦτο τὸ τῶν πολλῶν, οἳ δέκα μόνον ἢ καὶ εἴκοσι μῆνας νηστείᾳ παρεσχηκότες ἑαυτούς, εὐθέως πάντα καταλύουσι (S. Chrys. II, 5. *b*.).

2. Πρὶν τελευτῆσαι, ποίησιν ἑξάμετρον ὁ Μωϋσῆς τοῖς Ἑϐραίοις ἀνέγνω, ἣν καταλέλοιπεν ἐν τῷ βιϐλίῳ τῷ ἱερῷ, πρόῤῥησιν ἔχουσαν τῶν ἐσομένων, καθ' ἣν γέγονε πάντα τῷ λαῷ καὶ γίγνεται. (Fl. Joseph, *A. J.* IV, 8, 44.)

3. Ῥώμη μετὰ μὲν φρονήσεως ὠφέλησεν · ἄνευ δὲ ταύτης πλεῖον τοὺς ἔχοντας ἔϐλαψε. (Isocr. *Dém*· 4.)

4. Ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι τὰς ψυχάς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν. (*Sap*. 14.)

DU PARTICIPE

THÈME LVII

1. Ἡσύχου σιγῆς περιεχούσης τὰ πάντα, καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης, ὁ παντοδύναμος Λόγος, ἀπ' οὐρανῶν, ἐκ θρόνων βασιλείων εἰς μέσον τῆς γῆς ἥλατο. (*Sap.* 18.)

Diogène roulant son tonneau.

2. Ὅτε Φίλιππος ὁ Μακεδόνων βασιλεὺς εἰς τὴν Πελοπόννησον ἐλέγετο ἤδη ἐπελαύνειν, οἱ Κορίνθιοι πάντες ἐταράττοντο καὶ ἐν ἔργῳ ἦσαν, ὁ μὲν ὅπλα ἐπισκευάζων, ὁ δὲ λίθους παραφέρων, ὁ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὁ δὲ ἔπαλξιν ὑποστηρίζων, ὁ δὲ ἄλλος ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης ὁρῶν ταῦτα, ἐπεὶ μηδὲν εἶχεν ὅ τι καὶ πράττοι (οὐδεὶς γὰρ αὐτῷ ἐς οὐδὲν ἐχρῆτο), διαζωσάμενος τὸ τριβώνιον σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ἐτύγχανεν οἰκῶν, ἄνω καὶ κάτω τοῦ Κρανείου. Καί τινος τῶν συνήθων ἐρομένου · « Τί ταῦτα ποιεῖς, ὦ Διόγενες ; » — « Κυλίω, ἔφη, κἀγὼ τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκοίην ἐν τοσούτοις ἐργαζομένοις. » (Lucian. *de Hist. Scrib.* 3.)

THÈME LVIII

Bataille de Coronée.

1. Τῶν Ἀργείων ἐπὶ τὸν Ἑλικῶνα φυγόντων, οἱ Λακεδαιμόνιοι καὶ οἱ Θηβαῖοι συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγὴ, φωνὴ δέ τις ἦν τοιαύτη οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ' ἄν. (Xenophon. *Ages.* II, 12.)

Prise de Rome par les Gaulois.

2. Οἱ Γαλάται μάχῃ νικήσαντες Ῥωμαίους καὶ τοὺς

μετὰ τούτων παραταξαμένους, ἑπόμενοι τοῖς φεύγουσι, τρισὶ τῆς μάχης ἡμέραις ὕστερον κατέσχον αὐτὴν τὴν Ῥώμην, πλὴν τοῦ Καπιτωλίου. Γενομένου δὲ ἀντισπάσματος, καὶ τῶν Οὐενέτων ἐμβαλόντων εἰς τὴν χώραν αὐτῶν, τότε ποιησάμενοι συνθήκας πρὸς Ῥωμαίους, καὶ τὴν πόλιν ἀποδόντες, ἐπανῆλθον εἰς τὴν οἰκείαν. (Polyb. II, 18.)

DE LA PRÉPOSITION

Questions de Temps.

THÈME LIX

1. Συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων ὧν ἐποίησε. (Gen. II.)

2. Ἀλέξανδρος ἐτελεύτα τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ ὀλυμπιάδι, ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη, καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος· ἐβασίλευσε δὲ δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ μῆνας τούτους. (Arr. VII, 28.)

THÈME LX

Généalogie des sept premiers patriarches.

Ἀδάμῳ μὲν τριάκοντα καὶ διακόσια ἔτη [1] γεγονότι παῖς Σῆθος γίνεται, ὃς ἐνακόσια μὲν καὶ τριάκοντα ἐβίωσεν ἔτη. Σῆθος δὲ κατὰ πέμπτον καὶ διακοσιοστὸν ἔτος ἐγέννησεν Ἔνωσον, ὃς δώδεκα ζήσας ἔτη καὶ ἐνακόσια, [ἐτελεύτησεν. Ἔνωσος δὲ] Καϊνᾷ τῷ παιδὶ τὴν τῶν πραγμά-

[1] Dans le texte on lit : τριακοστῷ καὶ διακοσιοστῷ ἔτει γεγονότι qui était né dans la 230e année, en comptant à rebours, à partir du moment où il engendra Seth. C'est, de cette manière, la question *Quando*. Voyez Synt. 161-165.

των ἐπιμέλειαν παραδίδωσιν, τεκνώσας αὐτὸν περὶ ἑκατοστὸν καὶ ἐνενηκοστὸν ἔτος. Οὗτος ἐβίωσεν ἔτη πέντε πρὸς τοῖς ἐνακοσίοις. Καϊνᾶς δὲ βιοὺς δέκα καὶ ἐνακόσια, Μαλάηλον υἱὸν ἔσχεν, ἔτει γενόμενος ἑκατοστῷ ἑβδομηκοστῷ. Οὗτος ὁ Μαλάηλος ζήσας πέντε πρὸς τοῖς ἐνενήκοντα καὶ ὀκτακοσίοις ἐτελεύτησεν, Ἰαρέδην καταλιπὼν υἱὸν, ὃν ἔτος ἑξηκοστὸν ἤδη καὶ ἑκατοστὸν καὶ πέμπτον γενόμενος ἐγέννησε. (Joseph. Ant. J. I, 3.)

Questions de Lieu.

THÈME LXI

1. Βλαβεραὶ αἱ πρὸς τοὺς κακοὺς συνουσίαι. Ὡς γὰρ ἐν τοῖς νοσοποιοῖς χωρίοις ὁ ἀὴρ λανθάνουσαν νόσον τοῖς ἐνδιαιτωμένοις ἐναποτίθησιν, οὕτως ἡ πρὸς τοὺς φαύλους συνουσία, κἂν παραυτίκα τὴν αἴσθησιν τὸ βλαβερὸν διαφύγῃ, μεγάλα κακὰ ταῖς ψυχαῖς ἐναφίησι. S. Bas. ap. Stob. 23.)

2. Πολίχνιον Καῖσαρ λυπρὸν ἐν Ἄλπεσι παρερχόμενος, « Μᾶλλον ἂν, ἔφη, ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι, ἢ δεύτερος ἐν Ῥώμῃ. » (Plut. Apoph. Reg. et Imp.)

3. Θεόκριτος ἐρωτηθεὶς ποῖα τῶν θηρίων ἐστὶ χαλεπώτατα, εἶπεν · « Ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται. » (Stob. 16.)

THÈME LXII

1. Τὰ ἆθλα τοῖς Ἕλλησι ταῦτά ἐστιν · Ὀλυμπιάσι μὲν στέφανος ἐκ κοτίνου, Ἰσθμοῖ δὲ ἐκ πίτυος, ἐν Νεμέᾳ δὲ σελίνων πεπλεγμένος, Πυθοῖ δὲ μῆλα τῶν ἱερῶν τοῦ θεοῦ, παρ' Ἀθηναίοις δὲ τὸ ἔλαιον τὸ ἐκ τῆς μορίας. (Lucian. Anach. 9.)

2. Διογένης τὴν εἰς Ἀθήνας ἐκ Κορίνθου, καὶ πάλιν εἰς Κόρινθον ἐκ Θηβῶν μετάβασιν αὐτοῦ παρέβαλε ταῖς τοῦ βασιλέως, ἔαρος μὲν ἐν Σούσοις, καὶ χειμῶνος ἐν

Βαβυλῶνι, θέρους δ' ἐν Μηδίᾳ, διατριβαῖς. (Plut. t. II, p. 78, d.)

THÈME LXIII

De la résurrection.

1. Νῦν μὲν καθάπερ ἐν μήτρᾳ παιδίον, οὕτως ἐν τῷ κόσμῳ τούτῳ διάγομεν στενοχωρούμενοι, καὶ τοῦ μέλλοντος αἰῶνος τὴν λαμπρότητα καὶ τὴν ἐλευθερίαν οὐ δυνάμενοι συνιδεῖν· ὅταν δὲ ὁ καιρὸς ἐπιστῇ τῶν ὠδίνων, καὶ ἀποτέκῃ κατὰ τὴν τῆς κρίσεως ἡμέραν οὓς ὑπεδέξατο πάντας ἀνθρώπους ὁ παρὼν βίος, τὰ μὲν ἐξαμβλωθέντα ἀπὸ σκότους εἰς σκότος ἔρχεται, καὶ ἀπὸ θλίψεως εἰς θλῖψιν χαλεπωτέραν· τὰ δὲ ἄρτια καὶ τῆς βασιλικῆς εἰκόνος τοὺς χαρακτῆρας διαφυλάξαντα παραστήσονται τῷ βασιλεῖ, καὶ τὴν λειτουργίαν ἀναδέξονται ἐκείνην ἣν ἄγγελοι καὶ ἀρχάγγελοι τῷ πάντων διακονοῦνται Θεῷ. (S. Chrysost. t. I, p. 20, A.)

2. Ἀκούσατε, γυναῖκες, λόγον Θεοῦ, καὶ διδάξατε τὰς θυγατέρας ὑμῶν οἶκτον, ὅτι ἀνέβη θάνατος διὰ τῶν θυρίδων ὑμῶν, εἰσῆλθεν εἰς τὴν γῆν ὑμῶν. (Jerem. 9, 20.)

Distance. Mesure.

THÈME LXIV

L'Arche de Noé.

1. Δόξας ὁ Θεὸς ποιῆσαι γένος πονηρίας καθαρὸν, εἰς θάλασσαν τὴν ἤπειρον μετέβαλε. Καὶ οἱ μὲν ἄνθρωποι οὕτως ἀφανίζονται πάντες. Νώεος δὲ σώζεται μόνος, ὑποθεμένου μηχανὴν αὐτῷ πρὸς σωτηρίαν τοῦ Θεοῦ τοιαύτην. Νώεος λάρνακα τετράστεγον κατεσκεύασε πηχέων τὸ μῆκος τριακοσίων, πεντήκοντα δὲ τὸ πλάτος καὶ τριάκοντα τὸ βάθος. Ἔπειτα εἰς ταύτην σύν τε μητέρι τῶν παίδων καὶ ταῖς τούτων γυναιξὶν ἐνέβη, τά τε ἄλλα

ὅσα πρὸς τὰς χρείας αὐτοῖς ἐπικουρήσειν ἔμελλεν ἐνθέμενος, ζῷά τε παντοῖα πρὸς διατήρησιν τοῦ γένους αὐτῶν ἄῤῥενά τε καὶ θήλεα συνεισβαλόμενος. Καὶ ὁ Νῶεος μὲν οὕτω μετὰ τῶν οἰκείων τοῦ κατακλυσμοῦ διασώζεται. (Joseph, Ant. J., III.)

2. Αἱ πυραμίδες κατὰ τὴν Λιβύην κείμεναι τῆς Μέμφεως ἀπέχουσι σταδίους ἑκατὸν καὶ εἴκοσι, τοῦ δὲ Νείλου πέντε πρὸς τοῖς τεσσαράκοντα. (Diod. Sic. I, 63.)

Partie, Prix.

THÈME LXV

1. Ὁ Πέτρος πιάσας τὸν χωλὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε. Παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά. Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει. (Act. Apost. III, 7.)

2. Ἦν μὲν Ἰωσὴφ καλὸς τὸ εἶδος καὶ ὡραῖος τὴν ὄψιν. Ἐπιβαλοῦσα δ' ἡ γυνὴ Πετεφρέως τοὺς ὀφθαλμοὺς ἐπὶ τὸν νεανίσκον, καὶ ἐπισπασαμένη τῶν ἱματίων, κατεῖχεν. Ὁ δὲ τὰ ἱμάτια ἐν ταῖς χερσὶν αὐτῆς ἀφεὶς, οὕτως ἀπεπήδησε. (S. Chrys.)

Trois degrés de sagesse.

3. Οἱ ἀληθῶς φιλόσοφοι καὶ φιλόθεοι τὴν πρὸς τὸ καλὸν οἰκείωσιν ἀγαπῶσι δι' αὐτὸ τὸ καλόν · δευτέρα γὰρ αὕτη τάξις τῶν ἐπαινετῶν, τὸ μισθοῦ τι πράττειν καὶ δι' ἀντίδοσιν · ὥσπερ τρίτη, φόβῳ κολάσεως φεύγειν τὴν μοχθηρίαν. (S. Greg. Naz. Or. 4, 60.)

Instrument, Manière, Cause.

THÈME LXVI

1. Τὰ ζῷα ἐπίσταταί τινα μάχην ἕκαστα, οὐδὲ παρ' ἑνὸς ἄλλου μαθόντα ἢ παρὰ τῆς φύσεως, οἷον ὁ βοῦς κέρατι παίειν, ὁ ἵππος ὁπλῇ, ὁ κύων στόματι, ὁ κάπρος

ὀδόντι. Καὶ φυλάττεσθαι ἅπαντα ταῦτα ἐπίσταται ἀφ' ὧν μάλιστα δεῖ, καὶ ταῦτα εἰς οὐδενὸς διδασκάλου πώποτε φοιτήσαντα. (Cyrop II. 3, 9.)

2. Ἡ περὶ τοὺς γηράσαντας τῶν πελαργῶν πρόνοια ἐξήρκει τοὺς παῖδας ἡμῶν φιλοπάτορας καταστῆσαι. Ἐκεῖνοι γὰρ τὸν πατέρα ὑπὸ τοῦ γήρως πτερορρυήσαντα περιστάντες ἐν κύκλῳ τοῖς οἰκείοις πτεροῖς διαθάλπουσι, καὶ τας τροφὰς ἀφθόνως παρασκευάζοντες τὴν δυνατὴν καὶ ἐν τῇ πτήσει παρέχονται βοήθειαν, ἠρέμα τῷ πτερῷ κουφίζοντες ἑκατέρωθεν. Καὶ οὕτω τινὲς τὴν τῶν εὐεργετημάτων ἀντίδοσιν ἀντιπελάργωσιν ὀνομάζουσιν (S. Bas. Hexaem. VIII, 5.)

3. Βούλεται ὁ Θεὸς ἡμας, οἱονεὶ ἕλιξί τισι, ταῖς περιπλοκαῖς τῆς ἀγάπης τῶν πλησίον ἀντέχεσθαι καὶ ἐπαναπαύεσθαι αὐτοῖς, ἵν' ἀεὶ πρὸς τὸ ἄνω τὴν ὁρμὴν ἔχοντες, οἷόν τινες ἀναδενδράδες, ταῖς κορυφαῖς τῶν ὑψηλοτάτων ἑαυτοὺς παρισάζωμεν. (S. Bas. Hex. V.)

NÉGATION.

THÈME LXVII

1. Οἶνος ἐδόθη παρὰ Θεοῦ, οὐχ ἵνα μεθύωμεν, ἀλλ' ἵνα νήφωμεν, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀλγῶμεν. (S. Chrys. II, 7, b.)

2. Ἃ μὴ προσήκει μήτ' ἄκουε, μήθ' ὅρα. (Stob. I.)

3. Ἀριστοτέλης ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταὶ, ἔφη · « Ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν. » (D. Laert. *in Arist.* V, 108, f.)

4. Τί τῶν ἀγαθῶν εὔκολον; τίς καθεύδων τρόπαιον ἔστησε; τίς τρυφῶν καὶ καταυλούμενος τοῖς καρτερίας

στεφάνοις κατεκοσμήθη; Οὐδεὶς μὴ δραμὼν ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι δὲ προξενοῦσι στεφάνους. (S. Bas. *ap. Stob.* 4.)

THÈME LXVIII

1. Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου. (Men.)

2. Οὐδεὶς πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς οὐδε ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. (Xen. *M. S.* I, 1, 11.)

3. Κατανοῶν ἐγὼ Σωκράτους τήν τε σοφίαν καὶ τὴν γενναιότητα, οὔτε μὴ μεμνῆσθαι δύναμαι αὐτοῦ, οὔτε μεμνημένος μὴ οὐκ ἐπαινεῖν. (Xenoph. *Apol. Socr.*)

DE LA CONJONCTION

QUE rendue par OTI.

THÈME LXIX

1. Εἰώθει ὁ Πλάτων περὶ Διογένους λέγειν ὅτι μαινόμενος οὗτος Σωκράτης ἐστίν. (ÆL. *H. Var.* III, 7.)

2. Ἀλέξανδρος ὁ Φιλίππου τὸν Δαρεῖον πατάξας διῆλθεν ἕως ἄκρων τῆς γῆς, καὶ ἔλαβε σκῦλα πλήθους ἐθνῶν, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἔγνω ὅτι ἀποθνήσκει. — Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, την δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; (I Macc. 1; Matth. XVI, 26.)

3. Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει. (Stob. 35.)

THÈME LXX

1. Ὁ Διογένης ἔλεγεν ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

2. Ἐπίκτητος, τοῦ δεσπότου στρεβλοῦντος αὐτοῦ τὸ

σκέλος, ὑπομειδιῶν ἀνεκπλήκτως ἔλεγε· « Κατάξεις. » Και κατάξαντος, « Οὐκ ἔλεγον, εἶπεν, ὅτι κατάξεις; » (Orig. *adv. Cels.* VII, p. 368.)

3. Ὁ Θεμιστοκλῆς ἔλεγεν ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται, πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν, ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι. (Plut. *Them.* 2.)

THÈME LXXI

1. Πολλάκις ἔγωγε δημοκρατίαν ἔγνων ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν. (Thuc. III, 37.)

2. Λυκοῦργον τὸν Λακεδαιμόνιον, ὦ παῖ, καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ; Τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα ὅτι οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι, καὶ πόλις ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστι; (Xen. *M. S.* IV, 4, 15.)

QUE rendu par l'Infinitif.

THÈME LXXII

1. Σωκράτης πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι. (Xen. *M. S.* I, 1.)

2. Ἀδμήτῳ τινὶ ποιητῇ φαύλῳ λέγοντι γεγραφέναι μονόστιχον ἐπίγραμμα, ὅπερ ἐν ταῖς διαθήκαις κεκέλευκεν ἐπιγραφῆναι αὐτοῦ τῇ στήλῃ, (οὐχεῖρον δὲ καὶ αὐτὸ εἰπεῖν·

Γαῖα λάβ' Ἀδμήτου ἔλυτρον, βῆ δ' εἰς Θεὸν αὐτός,)

Δημῶναξ γελάσας εἶπεν· « Οὕτω καλόν ἐστιν, ὦ Ἄδμητε, τὸ ἐπίγραμμα, ὥστε ἐβουλόμην αὐτὸ ἤδη ἐπιγεγράφθαι. » (Lucien, *Demonax*, 44.)

QUE rendu par le Participe.

THÈME LXXIII

1. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους. (Isocr. *ad. Nic.* 21.)

2. Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. (Isocr. *Nic.* 47.)

3. Τὴν τῶν Περσῶν δύναμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι. (Isocr. *Nic.* 36.)

4. Ἀγνόημα ἠγνόησε σφόδρα τῆς οἰκείας εὐσεβείας ἀνάξιον ὁ Κωνστάντιος, ὅτε τὸν Ἰουλιανὸν ἔσωσεν· ἔλαθεν ἐπιτρέφων Χριστιανοῖς τὸν Χριστοῦ πολέμιον. (Greg. Naz. *Or.* 4, 3.)

QUE ou DE après un verbe négatif.

THÈME LXXIV

1. Ὁ Σωκράτης μόνος τῶν πρυτανέων ἠναντιώθη τοῖς Ἀθηναίοις μηδὲν ποιεῖν παρὰ τοὺς νόμους. (Plat. *Apol. S.* 31, d.)

2. Ὅτε πλούσιος ἦν, ἐφοβούμην μή τίς μου τὴν οἰκίαν διορύξας καὶ τὰ χρήματα λάβοι καὶ αὐτόν τί με κακὸν ἐργάσαιτο. Νῦν δ' ἐπειδὴ πάντων στέρομαι, ἡδέως καθεύδω ἐκτεταμένος. (Xenoph. *Symphos.* IV, 30.)

3. Ὁ Ξενοφῶν μικρὸν ὕπνου λαχὼν εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ ἐφοβεῖτο μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως εἶναι τὸ ὄναρ ἐδόκει αὐτῷ, κύκλῳ δὲ τὸ πῦρ ἐδόκει λάμπεσθαι. (Anab. III, 1.)

Εἰ Ἐάν.

THÈME LXXV

1. Ἐρώτησέ τις Θάλητα εἰ λανθάνοι θεοὺς ἄνθρωπος ἀδικῶν· « Ἀλλ' οὐδὲ διανοούμενος, » ἔφη. (Laert. *in Thal.*)

2. Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. (Isocr. *Demon.*)

3. Οἱ μὲν δραπέται κἂν μὴ διώκωνται, φοβοῦνται· οἱ δὲ ἄφρονες κἂν μήπω κακῶς πράσσωσι, ταράσσονται. (Demoph. *Simil.*)

4. Μόνος ὁ σοφὸς ἐλεύθερός τε καὶ ἄρχων, κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας. (Philo *ap. Stob.* 25.)

THÈME LXXVI

1. Ἢν πιστεύῃ τις θεοὺς ἐπισκοπεῖν πάντα, οὔτε λάθρα, οὔτε φανερῶς ἁμαρτήσεται. (Epict. *Fragm.* 61.)

2. Ὅτε ἐγένου μήτηρ, καὶ εἶδες τὸν παῖδα, καὶ ηὐχαρίστησας τῷ Θεῷ, ᾔδεις πάντως ὅτι θνητὴ οὖσα θνητὸν ἐγεύννησας. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; (S. Bas. *Ep.* 6.)

3. Δημοσθένους εἰπόντος πρὸς τὸν Φωκίωνα· « Ἀποκτενοῦσί σε οἱ Ἀθηναῖοι, ἐὰν μανῶσι· » — « Ναί, εἶπεν, ἐμὲ μὲν ἐὰν μανῶσι, σὲ δὲ ἐὰν σωφρονῶσιν. » (Plut. *Apoph. Phoc.* 6.)

THÈME LXXVII

Ὅτε Παῦλος εἰς τὸ δεσμωτήριον μυρίας λαβὼν πληγὰς εἰσηνέχθη, τὸν δεσμοφύλακα ἔδησεν. Ἐν τῷ ξύλῳ ἦσαν οἱ πόδες, ἐν τῇ ἁλύσει αἱ χεῖρες, καὶ τὸ δεσμωτήριον ἐσείετο κατὰ μέσην τὴν νύκτα, ὑμνοῦντος αὐτοῦ. Εἰ ἦν λελυμένος ὁ Παῦλος, καὶ ἔσεισεν ἐκεῖνο τὸ οἴκημα, οὐκ ἦν οὕτω θαυμαστὸν τὸ γινόμενον. Διὰ τοῦτο, φησὶν ὁ Θεὸς, μένε δεδεμένος, καὶ σαλευέσθωσαν οἱ τοῖχοι πάντοθεν

καὶ λυέσθωσαν οἱ δεσμῶται, ἵνα μειζόνως ἡ δύναμίς μου φαίνηται. (S. Chrys. t. II, 10, c; Act. 16.)

THÈME LXXVIII

Ὅταν ἴδῃς δίκαιον στενοχωρούμενον, κακούμενον, ἐν ἀῤῥωστίᾳ καὶ πενίᾳ καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτὸν, ὅτι εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τὸν τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ ἀπελθεῖν ἐντεῦθεν. (S. Chrys. II, 13, d.)

Conditionnel.

THÈME LXXIX

1. Οἱ μὲν τοὺς ἰδιώτας παιδεύοντες ἐκείνους μόνους ὠφελοῦσιν · εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐταῖς ὄντας · τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν. (Isocr. *Nicocl.*)

2. Οἱ ἀδολέσχαι, εἰ ἠνιῶντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν. (Stob. 34.)

THÈME LXXX

Φασὶν Ἀλέξανδρον εἰπεῖν ὡς, εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι. (Diog. Laert. *in Diog.* 6.)

Δαρείου πέμψαντος ἐπιστολὴν πρὸς Ἀλέξανδρον, καὶ δεομένου μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δ' ἐντος Εὐφράτου πᾶσαν ἔχοντα, καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον. Ἀλέξανδρος ἐκοινοῦτο τοῖς ἑταίροις. Καὶ Παρμενίωνος εἰπόντος · « Ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα, » — « Κἀγὼ, νὴ Δί' εἶπεν ὁ Ἀλέξανδρος, εἰ Παρμενίων. » (Plut. *Alex.* 29.)

Ἵνα, Ὡς, Μή.

THÈME LXXXI

1. Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ τὰς παγίδας· καὶ διὰ τοῦτο λογισμὸς τοῖς ἀνθρώποις, ἵν' ἐκφύγωσι τὰ ἁμαρτήματα. (S. Chrys. ap. Stob 26.)

2. Καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον, ὅπως εἰς μηδεμίαν ἀγεννῆ τύχης ὕβριν ὦμεν ἔκδοτοι. (Iambl. ap. Stob. 1.)

3. Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κέκτησθε. (Isocr. Nic. 12.)

THÈME LXXXII

1. Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. (S. Paul. I Cor. 9. 24.)

2. Σωκράτης ἔλεγε θαυμάζειν τῶν τὰς λιθίνους εἰκόνας κατασκευαζομένων τοῦ μὲν λίθου προνοεῖν ὡς ὁμοιότατος ἔσται, αὑτῶν δ' ἀμελεῖν ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι. (Diog. Laert. in Socr. 16.)

THÈME LXXXIII

Portrait de Ménon.

1. Μένων ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλουτεῖν ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν ὅπως πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι. Φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστα δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. Ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν, τὸ δε ἁπλοῦν καὶ τὸ ἀληθὲς τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. Στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα · ὅτῳ δὲ φαίη φίλος εἶναι. τούτῳ ἔνδηλος

ἐγίγνετο ἐπιβουλεύων. Ὑπὸ βασιλέως ἀπέθανεν, οὐκ ἀποτμηθεὶς τὴν κεφαλὴν, ὅσπερ τάχιστος θάνατος δοκεῖ εἶναι · ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυτὸν, ὡς πονηρὸς, λέγεται τῆς τελευτῆς τυχεῖν. (Xen. Anab. II, 6.)

2. Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν Ἕνδεκα ἀπαγόμενον, « Ἄθλιε, εἶπε, τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες; » (Stobée, 11.)

Du pronom conjonctif.

THÈME LXXXIV

Τοῦτό με εὐθύμως, ὦ ἄνδρες, εἰς τὸν ἀγῶνα τον πρὸς τοὺς Ἀρμενίους μάλιστα παρορμᾷ, ὅτι ὁ Κῦρος ὁ κρίνων ἔσται, ὃς οὐ φθόνῳ κρίνει, ἀλλὰ σὺν θεῶν ὅρκῳ λέγω, ἦ μὴν ἐμοὶ δοκεῖ Κῦρος οὕστινας ἂν ὁρᾷ ἀγαθοὺς φιλεῖν οὐδὲν ἧττον ἑαυτοῦ. Τούτοις γοῦν ὁρῶ αὐτὸν ὅτι ἂν ἔχῃ ἥδιον διδόντα ἢ αὐτὸν ἔχοντα. (Cyrop. II, 3, 12.)

THÈME LXXXV

1. Τισσαφέρνης μὲν ὤμοσεν Ἀγησιλάῳ, εἰ σπείσαιτο ἕως ἔλθοιεν οὓς πέμψειε πρὸς βασιλέα ἀγγέλους, διαπράξεσθαι αὐτῷ ἀφεθῆναι αὐτονόμους τὰς ἐν τῇ Ἀσίᾳ πόλεις Ἑλληνίδας, Ἀγησίλαος δὲ ἀντώμοσε σπονδὰς ἄξειν ἀδόλως, ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας. Ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο, Ἀγησίλαος δὲ καίπερ αἰσθόμενος ταῦτα, ὅμως ἐνέμεινε ταῖς σπονδαῖς. (Xenoph. Agesil. I, 10.)

2. Ὁπόσας πόλεις Ἀγησίλαος προσαγάγοιτο, ἀφαιρῶν αὐτῶν ὅσα δοῦλοι δεσπόταις ὑπηρετοῦσι, προσέταττεν ὅσα ἐλεύθεροι ἄρχουσι πείθονται. (Xenoph. Agesil. I, 22.)

Ὅτε, Ἕως, Ὅπου.

THÈME LXXXVI

1. Ὀνειδιζόμενός ποτε Διογένης ἐπὶ τῷ παραχαράξαι

τὸ νόμισμα, ἔφη · « Ἦν ποτε χρόνος ἐκεῖνος ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν · ὁποῖος δ' ἐγὼ νῦν, σὺ ἔσῃ οὐδέποτε. » (Diog. Laert. Diog. 56.)

2. Ὅταν βούληται Θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐνεποίησεν · ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλιν, ἐξεῖλε τοὺς ἀγαθοὺς ἐκ τοιαύτης τῆς πόλεως ὁ Θεός. (Æsch. Socr. Dial. I, 13.)

THÈME LXXXVII

Ὥσπερ οἱ ζωγράφοι ὅταν ἀπὸ εἰκόνος εἰκόνα γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα βλέποντες, τὸν ἐκείνου χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα · οὕτω δὴ καὶ τὸν ἐσπουδακότα ἑαυτον πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν χρὴ, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως. (S. Bas. Epist, ad Greg, II, p. 73, c.)

THÈME LXXXVIII

1. Ὅσον οὔπω ἱκεσίαι καὶ δεήσεις γίνονται, ψιλός ἐστιν ὁ ἄρτος καὶ τὸ ποτήριον · ἐπὰν δὲ ἐπιτελεσθῶσιν αἱ μεγάλαι καὶ θαυμασταὶ εὐχαὶ, τότε γίνεται ὁ ἄρτος σῶμα, καὶ τὸ ποτήριον αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. (S. Athan. ap. Eutych. Patr. C. P.)

2. Ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁλύσεσι κατηχοῦντα, μυσταγωγοῦντα, καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα, καὶ ἐν ναυαγίῳ, καὶ ἐν χειμῶνι, καὶ ἐν μυρίοις κινδύνοις. Καὶ σὺ ζήλωσον τοὺς ἁγίους, καὶ τῶν ἀγαθῶν ἔργων, ἕως ἂν δύναιο, μὴ ἐκπέσῃς. (S. Chrysost. II, 17, E.)

3. Μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου ἕως προὔδωκεν Ὄλυνθον · μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας · μέχρι τούτου Εὔδικος καὶ Σῖμος οἱ

Λαρισσαῖοι, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν. Εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε προδοτῶν. (Dém. Cor. 48.)

THÈME LXXXIX

1. Ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοὶ, ἐνταῦθα νόσοι πλεῖσται · οὕτω δὲ καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ καὶ ἀδικία μεγίστη. (Stob. 42.)

2. Παραχωρήσωμεν τῷ τεχνίτῃ τῆς τῶν ὅλων κυβερνήσεως, ἡμῶν γε πάντως συνετωτέρῳ καὶ ἄγοντι τὸ οἰκεῖον ὅπη καὶ ὅπως βούλεται, πάντως δὲ πρὸς τὸ κρεῖττον καὶ τὴν ἰατρείαν, κἂν οἱ θεραπευόμενοι δυσχεραίνωσιν. (S. Greg. Naz. Or. 4. 47.

THÈME XC

1. Ποιήσατε ἑαυτοῖς θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς · ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. (S. Luc, 12, 33.)

2. Φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. Καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου. Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ · παρθένοι γάρ εἰσι. (Apocal. 14, 4.)

3. Εἶπέ τις πρὸς τὸν Ἰησοῦν · Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Κύριε. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς · Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις · ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. (S. Luc, 9, 57.)

RÉSUMÉ

THÈME XCI

Épaminondas mis en jugement.

Ἐπαμινώνδας ἔφευγε δίκην θανάτου, ἐπανελθὼν ἐκ τῆς Λακωνικῆς, ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ τέσσαρας μῆνας παρὰ τὸν νόμον. Τοὺς μὲν οὖν συνάρχοντας ἐκέλευσεν εἰς αὐτὸν τὴν αἰτίαν ἀναφέρειν, ὡς ἐκβιασθέντας ἄκοντας. Αὐτὸς δὲ, παρελθὼν εἰς τὸ δικαστήριον, οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων τοὺς λόγους · εἰ δὲ μὴ, ἠξίου ἀποκτείνειν αὐτὸν, ἐπιγράψαι μέντοι τῇ στήλῃ ὅτι « μὴ βουλομένους Θηβαίους ἠνάγκασεν Ἐπαμινώνδας τὴν « μὲν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς « ἀδῄωτον οὖσαν · οἰκίσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα « καὶ διακοσίων · συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταὐτὸν « Ἀρκάδας · ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονο- « μίαν. » Καὶ ἀφῆκαν αὐτὸν αἰδεσθέντες οἱ δικασταί.

THÈME XCII

S. Ambroise et Théodose.

Θεσσαλονίκη πόλις ἐστὶ μεγίστη καὶ πολυάνθρωπος, εἰς μὲν τὸ Μακεδόνων ἔθνος τελοῦσα, ἡγουμένη δὲ καὶ Θετταλίας καὶ Ἀχαΐας. Ἐν ταύτῃ στάσεως γενομένης τινος κατελεύσθησαν τῶν ἀρχόντων τινές. Ὁ δὲ βασιλεὺς ἐξαφθεὶς ὑπὸ ἀγγελθέντων, οὐκ ἤνεγκε τοῦ θυμοῦ τὴν ὁρμὴν, ἀλλ' ἄδικα ξίφη κατὰ πάντων ἐγύμνωσε, καὶ τοὺς ἀθώους μετὰ τῶν ὑπευθύνων κατέκτεινεν. Ἕπτα γὰρ, ὥς φασὶν, ἀνῃρέθησαν χιλιάδες, οὐ κρίσεως ἡγησαμένης, ἀλλ' ὡς ἐν ἀμητῷ πάντων ὁμοῦ, δίκην ἀσταχύων, κατατμηθέντων.

Τοιαύτην μαθὼν τὴν ὀδυρμῶν γέμουσαν συμφορὰν Ἀμβρόσιος, τὸν βασιλέα συνήθως εἰς τὸν θεῖον εἰσελθεῖν βου-

ληθέντα νεὼν, ὑπαντήσας ἔξω τῶν προθύρων, ἐπιβῆναι τῶν ἱερῶν προπυλαίων, τοιάδε λέγων, ἐκώλυσε·

THÈME XCIII

« Οὐκ οἶσθα, ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς εἰργασμένης « μιαιφονίας τὸ μέγεθος. Οὐκ ἐᾷ γὰρ ἴσως τῆς βασιλείας « ἡ δύναμις ἐπιγνῶναι τὴν ἁμαρτίαν. Χρὴ μέντοι εἰδέναι « τὴν φύσιν, καὶ τὸ ταύτης θνητόν τε καὶ διαρρέον, καὶ « τὸν πρόγονον χοῦν, ἐξ οὗ γεγόναμεν καὶ εἰς ὃν ἀπορ- « ρέομεν, καὶ μὴ τῷ ἄνθει τῆς ἁλουργῖδος ἀποβουκολού- « μενον ἀγνοεῖν τοῦ καλυπτομένου σώματος τὴν ἀσθέ- « νειαν. Ὁμοφυῶν ἄρχεις, ὦ βασιλεῦ, καὶ μὲν δὴ καὶ « ὁμοδούλων. Εἷς γὰρ ἁπάντων δεσπότης καὶ βασιλεὺς, « ὁ τῶν ὅλων δημιουργός. »

THÈME XCIV

« Ποίοις τοίνυν ὀφθαλμοῖς ὄψει τὸν τοῦ κοινοῦ δεσπότου « νεών; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ « ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς ἀποσταζούσας ἔτι « τοῦ ἀδίκου φόνου τὸ αἷμα; πῶς δὲ τοιαύταις ὑποδέξῃ « χερσὶ τοῦ δεσπότου τὸ πανάγιον σῶμα; πῶς δὲ τῷ « στόματι προσοίσεις τὸ αἷμα τὸ τίμιον, τοσοῦτον διὰ « τὸν τοῦ θυμοῦ λόγον ἐκχέας παρανόμως αἷμα;

THÈME XCV

« Ἄπιθι τοίνυν, καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προ- « τέραν αὔξειν παρανομίαν, καὶ δέχου τὸν δεσμὸν, ᾧ ὁ « Θεὸς ὁ τῶν ὅλων δεσπότης ἄνωθεν γίνεται σύμψηφος. « Ἰατρικὸς δὲ οὗτος καὶ πρόξενος ὑγιείας. »

Τοιούτοις εἴξας ὁ βασιλεὺς τοῖς λόγοις (τοῖς γὰρ θείοις λογίοις ἐντεθραμμένος, ᾔδει σαφῶς τίνα μὲν τῶν ἱερέων, τίνα δὲ τῶν βασιλέων ἴδια), στένων καὶ δακρύων ἐπανῆλθεν εἰς τὰ βασίλεια. (Théodoret, I. V.)

THÈME XCVI

Κατὰ τῶν μεθυόντων.

Ἐλεεινὸν θέαμα Χριστιανῶν ὀφθαλμοῖς. Ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, σφριγῶν τῷ σώματι, στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, φοράδην οἴκαδε κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἀπιέναι. Ἀνὴρ φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις. Ἄνευ σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται. Μέθη λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορά, γῆρας ἄωρον, ὀλιγοχρόνιος θάνατος. Τί γὰρ ἄλλο εἰσὶν οἱ μεθύοντες, ἢ τὰ εἴδωλα τῶν ἐθνῶν; ὀφθαλμοὺς ἔχουσι καὶ οὐ βλέπουσιν, ὦτα ἔχουσι καὶ οὐκ ἀκούουσι· χεῖρες παραλέλυνται, οἱ πόδες ἀπενεκρώθησαν. S. Basile, t. II, p. 179.

THÈME XCVII

La Mort rend tous les hommes égaux.

Τὴν εἰς τὸν βίον εἴσοδον μίαν ἔχομεν ἅπαντες, καὶ τὴν ἔξοδον ἴσην. Εἷς γὰρ ἡμᾶς ὑποδέχεται θάνατος. Οὐ γὰρ φοβεῖται τὸν πλοῦτον ὁ θάνατος, οὐδὲ δειμαίνει τοὺς δορυφόρους, οὐ φρίττει τὴν ἁλουργίδα· καταφρονεῖ καὶ τείχους, καὶ πύργων καὶ βασιλείων. Οὐκ ἐλεεῖ τὸν δακρύοντα, οὐκ οἰκτείρει παρακαλοῦντα· οὐ διαφθείρεται δώροις, οὐκ ἰατρικῆς ἀνέχεται τέχνης, ἀργὰς δείκνυσι τὰς τῶν φαρμάκων δυνάμεις. Καὶ τέλος κοινὸν ἔχουσιν οἱ πλούτῳ κομῶντες καὶ οἱ πενίᾳ συζῶντες. (Théodoret.)

THÈME XCVIII

Délivrance de Nisibe par S. Jacques, son évêque.

Νίσιβιν τῆς Μυγδονίας πόλιν ὁ Περσικὸς ἐπολιόρκει στρατός. Πολλὰς μὲν ἑλεπόλεις τῷ τείχει προσήνεγκεν

ὁ Σαβώρης, χαρακώματα δὲ περιέστησε καὶ τάφρους ὤρυξε. Τότε Ἐφραὶμ ὁ θαυμάσιος (συγγραφεὺς δὲ οὗτος ἄριστος παρὰ Σύροις ἐγένετο) τὸν θεῖον Ἰάκωβον ἠντιβόλησεν ἐπιβῆναι τοῦ τείχους, καὶ τοὺς Βαρβάρους ἰδεῖν, καὶ τῆς ἀρᾶς κατ' αὐτῶν ἀφιέναι τὰ βέλη. Εἴξας οὖν θεσπέσιος ἄνθρωπος ἀνέβη μὲν εἴς τινα πύργον. Τὸ δὲ μυρίον πλῆθος ἰδὼν, ἄλλην μὲν οὐκ ἀφῆκεν ἀρὰν, κώνωπας δὲ αὐτοῖς ἐξήτησεν ἐπιπεμφθῆναι. ὥστε καὶ διὰ τῶν μικρῶν ζωϋφίων τοῦ σφισιν ἐπαρκοῦντος ἐπιγνῶναι τὴν δύναμιν.

THÈME XCIX

(Suite.)

Εἵπετο δὲ τῇ εὐχῇ τῶν κωνώπων τὰ νέφη. Καὶ τῶν μὲν ἐλεφάντων τὰς προνομαίας αὐλοειδεῖς πεφυκυίας ἐπλήρου, τῶν δὲ ἵππων καὶ τῶν ἄλλων κτήνων τά τε ὦτα καὶ τὰς ῥῖνας. Οἱ δὲ φέρειν οὐ δυνάμενοι τῶν ζωϋφίων τὴν προσβολὴν, τούς τε ῥυτῆρας ἀπέρρηξαν, καὶ τοὺς ἐποχουμένους κατήνεγκαν τήν τε τάξιν συνέχεον· τό τε στρατόπεδον καταλιπόντες ἔφυγον κατὰ κράτος. Οὕτως ὁ Περσῶν βασιλεὺς τοῦ τῶν εὐσεβούντων προμηθουμένου Θεοῦ μεμαθηκὼς τὴν ἰσχὺν, ἀνέζευξεν ἐκεῖθεν, αἰσχύνην, οὐ νίκην, ἐκ τῆς πολιορκίας δρεψάμενος. (Th.)

THÈME C

Utilité des persécutions.

Μετὰ τοὺς διωγμοὺς αἱ ἐκκλησίαι ἤνθησαν, καὶ πολλαπλάσιον ἐδέξαντο μέγεθος τε καὶ κάλλος. Οἱ δὲ τύραννοι μετὰ τῆς δυσσεβείας ἀπεσβέσθησαν. Καὶ τοὺς πολέμους δὲ τούτους προείρηκεν ὁ Δεσπότης, καὶ τὸ τῆς Ἐκκλησίας ἀήττητον. Καὶ αὐτὰ δὲ ἡμᾶς διδάσκει τὰ πράγματα, ὡς πλείονά πως τῆς εἰρήνης ὁ πόλεμος

πορίζει τὴν ὠφέλειαν. Ἡ μὲν γὰρ ἄβρους καὶ ἀνειμένους καὶ δειλοὺς ἀπεργάζεται · ὁ δὲ πόλεμος τά τε φρονήματα παραθήγει, καὶ τῶν παρόντων, ὡς ῥεόντων, παρασκευάζει καταφρονεῖν.

THÈME CI

L'Éléphant.

Ἐλέφας, τῶν χερσαίων ζώων τὸ μέγιστον, ὑπακούειν σοι ἐθέλει, ὁ καὶ τὰ μέγιστα τῶν δένδρων ἀνασπάσαι πρόρριζα τῇ προνομαίᾳ δυνάμενος. Καὶ οὐ λογίζεται τὴν ἰσχὺν, οὐκ ἐνθυμεῖται τὴν ῥώμην, οὐχ ὁρᾷ τὸν ὄγκον τοῦ σώματος · ἀλλὰ τῆς σῆς δεσποτείας ἀνέχεται. Καὶ σὺ μὲν καθήμενος ἐπιτάττεις, ὁ δὲ ποιεῖ τὸ κελευόμενον. Κἂν τὸν μισθὸν δὲ τῆς θεωρίας παρὰ τῶν θεωρούντων δέξηται, σοὶ τοῦτον τῇ προνομαίᾳ οἷόν τινι λαβίδι κεχρημένος, ὀρέγει. Τοῦτό σοι καὶ πολεμοῦντι συναγωνίζεται, καὶ πολλοὺς τοξότας ἐπὶ τοῦ νώτου δεχόμενον, οἷον ἀπό τινος πύργου βάλλειν τοὺς ἐναντίους παρασκευάζει, καὶ ταῖς φάλαγξιν ἐπιὸν, δεδίττεται καὶ ῥήγνυσι ῥᾳδίως, καὶ τοὺς ὁπλίτας σκεδάννυσι. Μὴ τοίνυν δυσχεραίνῃς μικρὸν ἔχων τὸ σῶμα, ἀλλὰ σκόπησον ἡλίκα τούτῳ ζῶα δουλεύειν ἀνέχεται, καὶ τὸν ὑποτάξαντα προθύμως ἀνύμνησον. (Théodoret.)

THÈME CII

Destruction de l'idole de Sérapis.

1. Ὁ Σαραπίδος νεὼς ἦν, καθὰ φασί τινες, τῶν πανταχοῦ γῆς μέγιστός τε καὶ κάλλιστος. Εἰς τοῦτον ἀναβὰς Θεόφιλος, ὁ τῆς Ἀλεξανδρίας ἐπίσκοπος, εἶδε ξόανον παμμέγεθες, καὶ τῷ μεγέθει τοὺς θεατὰς δεδιττόμενον. Καὶ λόγος κατεῖχεν ἀπατηλὸς, ὡς εἴ τις τούτῳ πελάσει, κλονήσεται μὲν ἡ γῆ, πανωλεθρία δὲ ἅπαντας καταλή-

ψεται. Ἀλλὰ τούτους μὲν τοὺς λόγους γραϊδίων μεθυόντων νομίσας εἶναι ληρήματα, ἐκέλευσέ τινι πέλεκυν ἔχοντι παῖσαι προθύμως τὸν Σάραπιν.

THÈME CIII

(Suite.)

2. Ἐκείνου δὲ παίσαντος, ἐβόησαν μὲν ἅπαντες τὸ θρυλούμενον δείσαντες · ὁ δε Σάραπις δεξάμενος τὴν πληγὴν, οὔτε ἤλγησε (ξύλινος γὰρ ἦν), οὔτε φωνὴν ἀφῆκεν, ἄψυχος ὤν. Ἐπειδὴ δὲ τὴν κεφαλὴν ἀφῃρέθη, μύες ἀγεληδὸν ἐξέδραμον ἔνδοθεν (μυῶν γὰρ οἰκητήριον ἦν ὁ Αἰγυπτίων θεός). Εἰς μικρὰ δὲ αὐτὸν διελόντες, τὰ μὲν παρέδοσαν τῷ πυρὶ, τὴν δὲ κεφαλὴν διὰ πάντος τοῦ ἄστεος ἔσυρον, τῶν προσκυνούντων ὁρώντων, καὶ τοῦ παρ' αὐτῶν προσκυνηθέντος τὴν ἀσθένειαν κωμῳδούντων. (Théodoret.)

THÈME CIV

Sur l'inégalité des conditions.

Πῶς ἂν, ἰσονομίας οὔσης, καὶ χρημάτων ὁμοίως ἅπαντες εὐποροῦντες, οἱ ἄνθρωποι τῶν ἀναγκαίων ἀπήλαυον ; τίς ἂν βοῦς ἀροτῆρας ὑπὸ ζυγὸν ἤγαγε, καὶ γῆν ἐνεούργησε, καὶ σπέρματα κατέβαλε ; καὶ τίς ἂν βλαστήσαντα καὶ ἀκμάσαντα τεμὼν τῇ ἅλῳ παρέδωκε, καὶ τῶν ἀχύρων ἀπέκρινε, μὴ τῆς πενίας ἐπὶ τοὺς πόνους ὠθούσης ;

THÈME CV

Φίλος φίλῳ χαίρειν.

Εἰ μὲν οὐκ ἐδόκουν ἐγὼ τῶν σου γραμμάτων ἄξιος, ἀλλ' οὐκ ἔχρην, ὦ φίλε, ταῦτά μοι ὑποσχέσθαι. Νῦν δ' ὅνπερ ἐξήγειρας τὸν πόθον ἔψευσας. Διεμαρτύρου μὲν

γὰρ πάλαι, ἐν τῷ ἀπαλλαχθῆναι εἰς Ἀθήνας, ὡς ἐπιστέλεις μοι· τὰς δὲ σὰς ἐγὼ δεξάμενος ὑποσχέσεις ἐφύλασσον. Ἀλλὰ φροῦδοι εὐθὺς οἱ ὅρκοι, καὶ ἅμα τῷ μηκέτι προσιδεῖν ἐμὲ καὶ τὸ μεμνῆσθαι ἀπώλεσας. Μέμνησο μέντοι ὡς « Ἀχάριστος ὅστις τὸν φιλοῦντα μὴ φιλεῖ. »
A M.

THÈME CVI

Julien entreprend de rebâtir le temple de Jérusalem.

Προσέταξεν ὁ Ἰουλιανὸς ἀνεγεῖραι τὸν ἐν τοῖς Ἱεροσολύμοις καταλυθέντα ναὸν, ὑπολαμβάνων ὁ μάταιος τὴν τοῦ Χριστοῦ πρόρρησιν διελέγχειν. Ἔδειξε δὲ μᾶλλον τὴν ταύτης ἀλήθειαν. Οἱ γὰρ Ἰουδαῖοι πάντοθεν συνέθεον, καὶ χρήματα καὶ προθυμίαν εἰς τὴν οἰκοδομίαν εἰσφέροντες. Ἐχορήγησε δὲ ὅτι πλεῖστα ὁ τοῦτο προστεταχὼς, οὐ φιλοτιμίᾳ χρώμενος, ἀλλὰ τῇ ἀληθείᾳ μαχόμενος Συναπέστειλε δὲ καὶ ἄρχοντα τῶν δυσσεβῶν προσταγμάτων ἄξιον.

THÈME CVII

(Suite.)

Κατέλυσαν μὲν αὐτὰ τῆς οἰκοδομίας τὰ λείψανα, νεόδμητα πάντα κατασκευάσειν ἐλπίσαντες. Ἐπειδὴ δὲ καὶ γύψου καὶ τιτάνου πολλὰς μεδίμνων συνήθροισαν μυριάδας, ἐξαπίνης ἄνεμοι βίαιοι πνεύσαντες καὶ λαίλαπες πάσας ἀθρόως ἐσκέδασαν. Ἔτι δὲ μεμηνότων ἐκείνων πρῶτον μὲν σεισμὸς ἐγένετο μέγιστος, ἐπειδὴ δὲ οὐκ ἔδεισαν, πῦρ ἐκ τῶν ὀρυσσομένων θεμελίων ἀναδραμὸν πλείστους τῶν ὀρυττόντων κατέπρησε, τοὺς δὲ ἄλλους ἐσκέδασε. Καὶ νύκτωρ δὲ παμπόλλων ἔν τινι πελαζούσῃ καθευδόντων στοᾷ, κατηνέχθη μὲν ἀθρόως σὺν τῷ ὀρόφῳ τὸ οἰκοδόμημα, τοὺς δὲ καθεύδοντας συνέχωσεν ἅπαντας.

Ταῦτα οἱ ἀντίθεοι θεασάμενοι καὶ τὰς θεηλάτους μάστιγας ὀρρωδήσαντες, ἀπέδρασαν, Θεὸν ὁμολογοῦντες τὸν ὑπὸ τῶν προγόνων τῷ ξύλῳ προσηλωθέντα. (Théodoret.)

THÈME CVIII

Réponse d'un maître d'école à Libanius.

Ἰουλιανοῦ εἰς τοὺς Πέρσας ἐλαύνοντος, ἦν ἐν Ἀντιοχείᾳ τότ' ἀνήρ τις ἄριστος, παιδαγωγεῖν μειρακία πεπιστευμένος. Λιβάνιος δὲ, ὁ ἐν σοφισταῖς πολυθρύλητος, δυσσεβής τε ὢν καὶ τὴν νίκην προσμένων, καὶ τὰς Ἰουλιανοῦ φανταζόμενος ἀπειλὰς, ἤρετο τὸν παιδαγωγὸν, κωμῳδῶν τὰ ἡμέτερα · « Τί ποιεῖ, φησὶν, τοῦ τέκτονος υἱός ; » Ὁ δὲ τῆς θείας ἀναπλησθεὶς χάριτος, προείρηκε τὸ μετ' ὀλίγον ἐσόμενον. « Γλωσσόκομον, ἔφη, σοφιστὰ, ὁ τοῦ πάντος κατασκευάζει δημιουργὸς, ὃν σὺ κωμῳδῶν τέκτονος υἱὸν προσηγόρευσας. » Ὀλίγων δὲ διελθουσῶν ἡμερῶν ὁ τοῦ ἀλάστορος ἐκείνου θάνατος ἐμηνύθη, καὶ ἐν γλωσσοκόμῳ κείμενος ἐκομίσθη, καὶ τῶν ἀπειλῶν ὁ κόμπος μάταιος ἀπεφάνθη, καὶ ὁ θεὸς ἐδοξάσθη. (Théodoret.)

THÈME CIX

Mort de Julien l'Apostat.

Διαβὰς τὸν Εὐφράτην ποταμὸν Ἰουλίανος ἐνέπρησε παραυτίκα τὰ σκάφη, καταλιπών τε τὴν οἰκουμένην διῄει τὴν ἔρημον. Ἐνταῦθα δὴ καὶ ποτοῦ καὶ τροφῆς οἱ στρατιῶται σπανίζοντες, καὶ τῆς πορείας ἡγεμόνας οὐκ ἔχοντες, ἀλλ' ἐν ἐρήμῳ χώρᾳ πλανώμενοι, τὴν βασιλέως ἔγνωσαν ἀβουλίαν. Ὀλοφυρόμενοι δὲ καὶ στένοντες εὗρον ἐξαπίνης κείμενον. Τὸν μέντοι τὴν δικαίαν ἐκείνην ἐπ-

ενεγκόντα πλήγην οὐδεὶς ἔγνω μέχρι καὶ τήμερον. Ἀλλ' εἴτε ἄνθρωπος εἴτε ἄγγελος ὦσε τὸ ξίφος, δῆλον ὡς τοῦτο δέδρακε τοῦ θείου νεύματος γεγονὼς ὑπουργός. Ἐκεῖνον δέ γέ φασι, δεξάμενον τὴν πλήγην, εὐθὺς πλῆσαι τὴν χεῖρα τοῦ αἵματος, καὶ τοῦτο ῥίψαι εἰς τὸν ἀέρα, καὶ φάναι· « Νενίκηκας, Γαλιλαῖε· » καὶ κατὰ ταὐτὸ τήν τε νίκην ὁμολογῆσαι, καὶ τὴν βλασφημίαν τολμῆσαι. Οὕτως ἐμβρόντητος ἦν.

FIN DE LA DEUXIÈME PARTIE

CORRIGÉS

DES

THÈMES GRADUÉS

SUR LA

GRAMMAIRE GRECQUE

TROISIÈME PARTIE

THÈMES GRADUÉS

Sur toutes les règles de la Syntaxe.

Nous avons, dans les notes, multiplié les renvois à la Grammaire. Ces renvois mettent le professeur à même de rappeler aux élèves les règles de la Syntaxe, à mesure qu'il lit le corrigé de leur thème. Rien n'est plus utile pour faire bien comprendre les principes de la langue grecque, que de montrer comment ils sont appliqués dans les auteurs.

THÈME I

Preuves de la Résurrection de Jésus-Christ.

1. Ὅτι οἱ Ἀπόστολοι οὔτ' ἂν ἠβουλήθησαν[1], οὔτ'[2] ἂν ἠδυνήθησαν πλάσαι τὴν ἀνάστασιν τοῦ Διδασκάλου μὴ γενομένην, δῆλον ἐκεῖθεν

2. Πολλὰ γὰρ περὶ ἀναστάσεως αὐτοῖς[3] διελέχθη, καὶ συνεχῶς ἔλεγεν, ὡς καὶ αὐτοὶ εἰρήκασιν, ὅτι « Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι »[4]. Εἰ τοίνυν οὐκ ἀνέστη, εὔδηλον ὡς ἀπατηθέντες οὗτοι καὶ πρὸς ὁλόκληρον ἔθνος δι' αὐτὸν ἐκπολεμωθέντες, καὶ ἄνοικοι καὶ ἀπόλιδες γενόμενοι, ἀπεστράφησαν ἂν αὐτόν, καὶ οὐκ ἂν ἠβουλήθησαν τοιαύτην αὐτῷ περιθεῖναι δόξαν, ἅτε ἠπατημένοι, καὶ εἰς τοὺς ἐσχάτους δι' αὐτὸν ἐμπεσόντες κινδύνους.

[1] Synt. § 237. — [2] — id. 201. — [3] id. 130, Rem. — [4] id. 206,

3. Ὅτι δὲ οὐδὲ[5] ἂν ἠδυνήθησαν, εἰ μὴ ἦν ἀληθὴς ἡ ἀνάστασις, πλάσαι αὐτὴν, τοῦτο οὐδὲ λόγου δεῖται. Τίνι γὰρ ἐθάρρουν; τῇ τῶν λόγων δεινότητι; ἀλλὰ πάντων ἦσαν ἀμαθέστεροι[6]. Ἀλλὰ τῇ περιουσίᾳ τῶν χρημάτων; ἀλλ' οὐδὲ ὑποδήματα εἶχον. Ἀλλὰ τῇ περιφανείᾳ τοῦ γένους; ἀλλ' εὐτελεῖς ἦσαν καὶ ἐξ εὐτελῶν. Ἀλλὰ τῷ μεγέθει τῆς πατρίδος; ἀλλ' ἀπὸ χωρίων ἀσήμων ἦσαν. Ἀλλὰ τῷ πλήθει τῷ ἑαυτῶν[7]; ἀλλὰ τῶν ἕνδεκα[8] οὐκ ἦσαν πλείους. Ἀλλὰ ταῖς ἐπαγγελίαις τοῦ Διδασκάλου; Ποίαις; Εἰ γὰρ μὴ ἀνέστη, οὐδὲ ἐκεῖναι ἤμελλον αὐτοῖς εἶναι πισταί.

4. Πῶς δ' ἂν ἤνεγκαν δῆμον μαινόμενον; Εἰ γὰρ ὁ κορυφαῖος αὐτῶν θυρωροῦ ῥῆμα οὐκ ἤνεγκε γυναικὸς, καὶ οἱ λοιποὶ δὲ πάντες δεδεμένον ἰδόντες[9] διεσπάρησαν, πῶς ἂν ἐνενόησαν[10] εἰς τὰ πέρατα τῆς οἰκουμένης διαδραμεῖν, καὶ φυτεῦσαι πεπλασμένον ἀναστάσεως λόγον; Εἰ γὰρ ὁ μὲν πρὸς γυναικὸς ἀπειλὴν οὐκ ἔστη, οἱ δὲ οὐδὲ πρὸς δεσμῶν ὄψιν, πῶς ἠδύναντο[11] πρὸς βασιλέας καὶ ἄρχοντας καὶ δήμους ἵστασθαι, ὅπου ξίφη καὶ τήγανα καὶ κάμινοι καὶ μυρίοι καθ' ἡμέραν θάνατοι εἰ μὴ τῆς τοῦ ἀναστάντος δυνάμεως καὶ ῥοπῆς ἀπέλαυσαν[12]; Τοιαῦτα σημεῖα γέγονε καὶ τοσαῦτα, καὶ οὐδὲν τούτων ᾐδέσθησαν Ἰουδαῖοι, ἀλλ' ἐσταύρωσαν τὸν πεποιηκότα · καὶ τούτοις ἤμελλον ἁπλῶς λέγουσι πείθεσθαι περὶ ἀναστάσεως; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἀλλ' ἡ τοῦ ἀναστάντος ἰσχὺς ταῦτα εἰργάσατο. (S. Chrys. *in Matth*. Hom. 89.)

note. — [5] id. 201. — [6] Remarquez le comparatif employé pour le superlatif. — [7] Synt. 65. — [8] id. 9. — [9] id. 325. — [10] 140 et 137, note. — [11] id. 240. — [12] id. 140, note.

THÈME II

Richesse et pauvreté.

1. Σακῶν τις ἰδιώτης ἀνὴρ τὸν ἱππικὸν δρόμον νικήσας[1] ἐν Βαβυλῶνι, τὸν ἵππον Φεραύλα τινὶ τῶν Κύρου φίλων ἔδωκε. Καλέσας δὲ αὐτὸν ὁ Φεραύλας ἐξένιζε, καὶ ἐπεὶ ἐδεδειπνήκεσαν τὰ ἐκπώματα αὐτῷ ἃ ἔλαβε παρὰ Κύρου ἐμπιπλὰς προὔτεινε καὶ ἐδωρεῖτο[2]. Καὶ ὁ Σάκας ὁρῶν πολλὴν μὲν καὶ καλὴν στρωμνὴν, πολλὴν δὲ καὶ καλὴν κατασκευὴν, καὶ οἰκέτας δὲ πολλοὺς, « Εἰπέ μοι, ἔφη, ὦ Φεραύλα, ἦ καὶ οἴκοι τῶν πλουσίων[3] ἦσθα; » Καὶ ὁ Φεραύλας εἶπε, « Ποίων πλουσίων; τῶν μὲν οὖν ἀποχειροβιώτων. Ἐμὲ γάρ τοι ὁ πατὴρ τὴν μὲν τῶν παίδων παιδείαν γλίσχρως αὐτὸς ἐργαζόμενος καὶ τρέφων ἐπαίδευεν[4], ἐπεὶ δὲ μειράκιον ἐγενόμην, οὐ δυνάμενος τρέφειν ἀργὸν, εἰς ἀγρὸν ἀπαγαγὼν ἐκέλευσεν ἐργάζεσθαι.

2. « Ἔνθα δὴ ἐγὼ ἀντέτρεφον ἐκεῖνον ἕως ἔζη[5], αὐτὸς σκάπτων καὶ σπείρων καὶ μαλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ λάβοι[6] σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν· ἤδη δέ ποτε ὑπὸ γενναιότητος καὶ διπλάσια[7] απέδωκεν ὧν[8] ἔλαβεν. Οἴκοι μὲν οὖν οὕτως ἔγωγε ἔζων· νῦν δὲ ταῦτα πάντα ἃ ὁρᾷς Κῦρός μοι ἔδωκε. » Καὶ ὁ Σάκας εἶπεν, « Ὦ μακάριε σὺ τά τε ἄλλα καὶ[9] αὐτὸ τοῦτο ὅτι ἐκ πένητος πλούσιος γεγένησαι· πολὺ γὰρ οἶμαί σε καὶ διὰ τοῦτο ἥδιον πλουτεῖν, ὅτι πεινήσας χρημάτων πεπλούτηκας[10]. »

3. Καὶ ὁ Φεραύλας εἶπεν· « Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ ὅσῳ[11] πλείω κέκτημαι; Οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ' ὁτιοῦν νῦν ἥδιον ἢ τότε ὅτε πένης ἦν. Ὅτι δὲ ταῦτά μοι πολλά ἐστιν, τοσοῦτον[12] κερδαίνω· πλείω

μὲν φυλάττειν δεῖ, πλείω δὲ ἄλλοις διανέμειν, πλείονα δὲ ἐπιμελούμενον[13] πράγματα ἔχειν. Νῦν γὰρ δὴ ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι[14], πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια, οἱ δὲ ἰατρῶν δέονται. ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων ἢ τῶν βοῶν κατακεκρημνισμένα[15], ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστε μοι δοκῶ νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι[16] ἢ πρόσθεν διὰ τὸ ὀλίγα ἔχειν. (Xenoph. Cyrop VIII, 3.)

[1] Synt., 112. — [2] id. 134. — [3] id. 34. — [4] id. 112, 134. — [5] id. 223. note α. — [6] id. 243. — [7] id. 42. — [8] id. 76. — [9] id. 333. — [10] id. 99 — [11] id. 57, Rem. 2. — [12] id. 297. — [13] id. 5. — [14] id. 93. — [16] id. 33. — [16] id. 112. Rem.

THÈME III

Consolation à un père sur la mort de son fils unique

1. Κἂν οἱ λόγοι τῶν παρὰ[1] Θεοῦ οἰκονομουμένου διαφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφον καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν ἀποδεκτόν ἐστι, κἂν ἐπίπονον ᾖ. Αὐτὸς γὰρ οἶδε πῶς ἑκάστῳ διατίθησι[2] τὸ συμφέρον, καὶ διὰ τί ἄνισα τίθησιν[2] ἡμῖν τοῦ βίου τὰ πέρατα. Ἔστι γὰρ τις αἰτία ἀνθρώποις ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται. Ὥστε ἐπὶ πᾶσι προσκυνεῖν αὐτοῦ τὴν φιλανθρωπίαν[3] ὀφείλομεν, καὶ μὴ δυσχεραίνειν· μεμνημένοι τῆς μεγάλης ἐκείνης καὶ ἀοιδίμου φωνῆς, ἣν ὁ μέγας ἀθλητὴς Ἰὼβ ἀνεφθέγξατο, ἐπὶ μιᾶς τραπέζης ἰδὼν δέκα παῖδας ἐν βραχείᾳ καιροῦ ῥοπῇ συντριβέντας· « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. » Ἡμέτερον ποιήσωμεν τὸ θαῦμα τοῦτο· ἴσος ὁ μισθὸς

παρὰ τοῦ δικαίου κριτοῦ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις ἀνδραγαθήματα.

2. Οὐκ ἀπεστερήθημεν τοῦ παιδὸς[4], ἀλλ' ἀπεδώκαμεν τῷ χρήσαντι · οὐδὲ ἠφανίσθη αὐτοῦ ἡ ζωὴ, ἀλλ' ἐπὶ τὸ βέλτιον διημείφθη · οὐ γῆ κατέκρυψε τὸν ἀγαπητὸν ἡμῶν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Μικρὸν ἀναμείνωμεν, καὶ συνεσόμεθα τῷ ποθουμένῳ. Οὐδὲ πολὺς ὁ χρόνος τῆς διαστάσεως, πάντων ὥσπερ ἐν ὁδῷ τῷ βίῳ τουτῳ πρὸς τὸ αὐτὸ καταγώγιον ἐπειγομένων · ἐν ᾧ ὁ μὲν προκατέλυσεν, ὁ δὲ ἐπῆλθεν, ὁ δὲ ἐπείγεται, πάντας δὲ ἓν ὑποδέξεται τέλος. Εἰ γὰρ καὶ θᾶττον τὴν ὁδὸν προκατέλυσεν, ἀλλὰ πάντες τὴν αὐτὴν πορευσόμεθα · καὶ πάντας τὸ αὐτὸ ἀναμένει κατάλυμα. Μόνον γένοιτο[5] ἡμᾶς δι' ἀρετῆς τῇ καθαρότητι ἐκείνου ὁμοιωθῆναι · ἵνα διὰ τὸ ἄδολον[6] τοῦ ἤθους τῆς αὐτῆς[7] τοῖς ἐν Χριστῷ νηπίοις ἀναπαύσεως ἐπιτύχωμεν[8]. (S. Bas. *Ep.* V.)

[1] Synt. 129, note. — [2] id. 141 et 242. — [3] id. 106, note. — [4] id. 94, note. — [5] id. 145. — [6] id. 11, note. — [7] id. 46. — [8] id. 89.

THÈME IV

Οὐδὲν σχολῆς μοχθηρότερον.

1. Ποῖος ἵππος χρήσιμος, ὁ τρυφῶν ἢ ὁ γυμναζόμενος; ποία ναῦς, ἡ πλέουσα ἢ ἡ ἀργοῦσα ; ποῖον ὕδωρ, τὸ τρέχον ἢ τὸ ἑστώς ; ποῖος σίδηρος, ὁ κινούμενος ἢ ὁ μὴ ἐργαζόμενος ; οὐχ ὁ μὲν ἀπολάμπει, καὶ ἀργύρῳ προσέοικεν, ὁ δὲ κατίωται ; Τοιοῦτόν τι γίνεται καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς · ἰός τις αὐτῆς[1] καταχεῖται καὶ τρώγει τὴν λαμπρότητα.

2. Ἀνέτειλεν ὁ ἥλιος, λαμπρὰς ἀφῆκε πανταχοῦ τὰς ἀκτῖνας, ἤγειρεν ἕκαστον ἐπὶ τὰ ἔργα · ὁ γεωργὸς τὴν δίκελλαν[2] λαβὼν[3] ἔξεισιν, ὁ χαλκοτύπος τὴν σφῦραν, ἡ

γυνὴ ἠλακάτην ἢ τὰ ὑφάσματα· καὶ εὑρήσεις τῶν δημιουργῶν ἕκαστον τὰ οἰκεῖα ὄργανα μεταχειριζόμενον· ὁ δὲ νωθὴς ἀπὸ τῆς εὐνῆς ἀναστὰς, τοῦ ἡλίου τὴν ἀγορὰν ἐμπλήσαντος[4], καὶ πάντων κορεσθέντων[4] τῆς οἰκείας ἐργασίας, ἀνίσταται διατεινόμενος, τὸ κάλλιστον τῆς ἡμέρας[5] ἐν σκότει καταναλώσας.

3. Πῶς πάντες τὸν τοιοῦτον οὐ καταγνώσονται, καὶ οἰκεῖοι, καὶ φίλοι, καὶ συγγενεῖς; Τίς δὲ οὐ δικαίως ἐρεῖ· Ἄχθος οὗτος ἀρούρας, εἰκῆ παρῆλθεν εἰς τὸν κόσμον ὁ τοιοῦτος[6]. (S. Chrys. *in Act. Ap.* Hom. 35.)

[1] Synt. 113 et 114. — [2] id. 65, note. — [3] id. 325. — [4] id. 99. — [5] id. 33. — [6] id. 10.

THÈME V

Prudence de Phocion.

1. Λόγου περὶ τῆς Ἀλεξάνδρου τελευτῆς ἐμπεσόντος[1] ἀδεσπότου, καὶ τῶν ῥητόρων ἀναπηδώντων εὐθὺς ἐπὶ τὸ βῆμα, καὶ μὴ μέλλειν, ἀλλὰ πολεμειν ἤδη κελευόντων, ὁ Φωκίων ἠξίου περιμεῖναι, καὶ γνῶναι βεβαίως. « Εἰ γὰρ τήμερον, ἔφη, τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰσέτι τεθνηκώς[2] ». (Plut. *Apophth.*)

Combien il estimait peu le suffrage de la multitude.

2. Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους[3], ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν· « Οὐ δή που κακόν τι λέγων ἐμαυτὸν λέληθα; » (Plut. *Apophth.*)

[1] Synt. 150. — [2] *Gramm.* 44, note 3, et Synt. 138. — [3] id. 122. — id. 330.

THÈME VI

De la Confession.

1. Τῶν δεομένων[1] ἰατρείας οἱ μὲν ὀδόντα[2] πονοῦντες ἢ δάκτυλον αὐτόθεν βαδίζουσι πρὸς τοὺς θεραπεύοντας· οἱ δὲ πυρέττοντες οἴκαδε καλοῦσι καὶ δέονται βοηθεῖν· οἱ δ' εἰς μελαγχολίαν ἢ φρενῖτιν ἢ παρακοπὴν ἥκοντες οὐδὲ φοιτῶντας ἐνιαχοῦ πρὸς αὐτοὺς[3] ἀνέχονται, ἀλλ' ἐξελαύνουσιν, ἢ φεύγουσιν, ὑπὸ τοῦ σφόδρα νοσεῖν μηδ' ὅτι νοσοῦσιν αἰσθανόμενοι.

2. Οὕτω δὴ καὶ ἁμαρτανόντων ἀνήκεστοι μέν εἰσιν οἱ πρὸς τοὺς ἐλέγχοντας καὶ νουθετοῦντας ἐχθρῶς καὶ ἀγρίως διατιθέμενοι καὶ χαλεπαίνοντες· οἱ δ' ὑπομένοντες καὶ προσιέμενοι πρᾳότερον[4] ἔχουσι· τὸ δ' ἑαυτὸν ἁμαρτάνοντα παρέχειν τοῖς ἐλέγχουσι, καὶ τὸ πάθος λέγειν, καὶ τὴν μοχθηρίαν ἀποκαλύπτειν, καὶ μὴ χαίρειν λανθάνοντα[5] μηδ' ἀγαπᾶν ἀγνοούμενον[6], ἀλλ' ὁμολογεῖν καὶ δεῖσθαι τοῦ ἁπτομένου καὶ νουθετοῦντος, οὐ φαῦλον ἂν εἴη προκοπῆς σημεῖον. (Plut. *De Prof. in virt.* XI.)

1 Synt. 34. — 2 id. 49. Rem.; et 131, note; et 132, note. — 3 id. 66. Rem. — 4 id. 183. Rem. — 5 id. 316. — 6 id. 215. Rem.

THÈME VII

Basile et Grégoire, modèles de deux amis.

1. Τὰ πάντα ἦμεν ἀλλήλοις, ὁμόστεγοι, ὁμοδίαιτοι, συμφυεῖς, τὸ ἓν βλέποντες, ἀεὶ τὸν πόθον ἀλλήλοις συναύξοντες θερμότερόν τε καὶ βεβαιότερον. Οὕτως οὖν, ᾔειμεν εἰς τὸ πρόσω, Θεῷ καὶ πόθῳ συνεργοῖς χρώμενοι[1]. Ἴσαι μὲν ἐλπίδες ἦγον ἡμᾶς πράγματος ἐπιφθονωτάτου, τῶν λόγων[2]. Φθόνος δὲ ἀπῆν, ζῆλος δὲ ἐσπουδάζετο. Ἀγὼν δὲ ἀμφοτέροις, οὐχ ὅστις αὐτὸς τὸ πρωτεῖον ἔχοι[3], ἀλλ'

ὅπως[4] τῷ ἑτέρῳ τούτου παραχωρήσειεν· τὸ γὰρ ἀλλήλων εὐδόκιμον ἴδιον ἐποιούμεθα.

2. Μία μὲν ἀμφοτέροις ἐδόκει ψυχὴ δύο σώματα φέρουσα· ἓν δ' ἀμφοτέροις ἔργον, ἡ ἀρετὴ καὶ τὸ ζῆν πρὸς τὰς μελλούσας ἐλπίδας, πρὶν ἐνθένδε ἀπελθεῖν[5] ἐνθένδε μεθισταμένοις. Πρὸς ὃ βλέποντες καὶ βίον καὶ πρᾶξιν ἅπασαν ἀπηυθύνομεν, παρά τε τῆς ἐντολῆς οὕτως ἀγόμενοι, καὶ ἀλλήλοις τὴν ἀρετὴν παραθήγοντες. Ἑταίρων τε γὰρ ὡμιλοῦμεν οὐ τοῖς ἀσελγεστάτοις[6], ἀλλὰ τοῖς σωφρονεστάτοις, οὐδὲ τοῖς μαχιμωτάτοις, ἀλλὰ τοῖς εἰρηνικωτάτοις· εἰδότες ὅτι κακίας ῥᾷον μεταλαβεῖν ἢ ἀρετῆς μεταδοῦναι[7], ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον ἢ ὑγίειαν χαρίσασθαι.

3. Δύο μὲν ἐγνωρίζοντο ἡμῖν ὁδοὶ, ἥ τε πρὸς τοὺς ἱεροὺς ἡμῶν οἴκους, καὶ τοὺς ἐκεῖσε[8] διδασκάλους φέρουσα, καὶ ἡ πρὸς τοὺς ἔξωθεν παιδευτάς. Τὰς ἄλλας δὲ τοῖς βουλομένοις προήκαμεν, ἑορτὰς, θέατρα, πανηγύρεις, συμπόσια. Οὐδὲν γὰρ, οἶμαι, τίμιον ὃ μὴ πρὸς ἀρετὴν φέρει[9], μηδὲ ποιεῖ βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας. Ἄλλοις μὲν οὖν ἄλλαι προσηγορίαι τινές εἰσιν, ἢ πατρόθεν, ἢ οἴκοθεν, ἐκ τῶν ἰδίων ἐπιτηδευμάτων ἢ πράξεων· ἡμῖν δὲ τὸ μέγα πρᾶγμα καὶ ὄνομα Χριστιανοὺς[10] καὶ εἶναι καὶ ὀνομάζεσθαι. (Greg. Naz *Or.* 43, 19.)

[1] Synt. 108. — [2] id. 6, Rem. — [3] id. 143. — [4] id. 73. — [5] id. 221. — [6] id. 108. — [7] id. 79. — [8] id. 176; et 174, note; et 261. — [9] id. 242, note. — [10] id. 5, et 256. note 1.

THÈME VIII

Promenade au bord de la mer.

1. Ἐβάδιζον οὕτω κατ' ἐμαυτὸν, ἤδη κλινούσης ἡμέρας· ἀκτὴ δὲ ἦν ὁ περίπατος· καὶ γάρ πως εἴωθα τοὺς

πόνους ἀεὶ ταῖς τοιαύταις διαλύειν ἀνέσεσιν[1]. Ἐβάδιζον οὖν, καὶ οἱ μὲν πόδες[2] ἐφέροντο, ἡ δὲ ὄψις εἶχε τὴν θάλασσαν. Ἡ δὲ ἦν θέαμα οὐχ ἡδὺ, καίτοι γε ἄλλως ἥδιστον οὖσα, ὅταν[3] γαλήνη πορφύρηται, καὶ προσπαίζη ταῖς ἀκταῖς ἡδύ τι καὶ ἥμερον[4]. Ἀλλὰ τότε ἀνέμου μεγάλου πνέοντος διηγείρετό τε καὶ ἐπωρύετο · τῶν δὲ κυμάτων, ὃ φιλεῖ συμβαίνειν ἐν τοῖς τοιούτοις κινήμασι, τὰ μὲν πόρρωθεν ἀνιστάμενα καὶ κατὰ μικρὸν κορυφούμενα, εἶτ᾽ ἐλαττούμενα, πρὸς ταῖς ἀκταῖς ἐλύετο[5] · τὰ δὲ ταῖς γείτοσι πέτραις προσπίπτοντα καὶ ἀποκρουόμενα εἰς ἄχνην ἀφρώδη καὶ ψιλὴν ἐσκορπίζετο. Ἔνθα κάχληκες μὲν καὶ φυκία καὶ κήρυκες καὶ τῶν ὀστρέων τὰ ἐλαφρότατα ἐξωθεῖτο καὶ ἀπεπτύετο, ἔστι δὲ ἃ[6] καὶ ἡρπάζετο πάλιν, ἀναχωροῦντος τοῦ κύματος · αἱ δὲ ἦσαν ἄσειστοι πέτραι καὶ ἀτίνακτοι, οὐδέν γε ἧττον ἢ διοχλοῦντος οὐδενὸς, πλὴν ὅσον[7] τοῖς κύμασι[8] βάλλεσθαι.

2. Ἐντεῦθεν οἶδά τι πρὸς φιλοσοφίαν ὠφεληθεὶς[9], καί μοι τὸ θέαμα παίδευμα γίνεται. Ἢ γὰρ οὐκ, ἔφην ἐγὼ, θάλασσα[10] μὲν ὁ ἡμέτερος βίος καὶ τὰ ἀνθρώπινα (πολὺ γὰρ κἀν[11] τούτῳ τὸ ἁλμυρὸν καὶ ἄστατον), πνεύματα δὲ, οἱ προσπίπτοντες πειρασμοὶ καὶ ὅσα τῶν ἀδοκήτων[12]; Τῶν δὲ πειραζομένων οἱ μὲν ἐδόκουν μοι ὡς τὰ κουφότατα παρασύρεσθαι · οἱ δὲ εἶναι πέτρα[13], τῆς πέτρας ἐκείνης ἄξιοι ἐφ᾽ ἧς βεβήκαμεν. (S. Greg. Naz. *Or.* 26, 9.)

[1] Synt. 160. — [2] id. 63, note. — [3] id. 246. — [4] id. 112, Rem. — [5] id. Synt. 82. — [6] id. 298. — [7] id. 297. — [8] id. 130. — [9] id. 212, 213. — [10] id. 19. — [11] *Gramm.* 86. — [12] Synt. 34. — [13] id. 210.

THÈME IX

Γνῶμαι.

Τῷ ὄντι κινδυνεύει[1] χαλεπώτερον εἶναι τὸ κατασχεῖν

τὰ ἀγαθὰ[2] τοῦ μὴ παρόντα κτήσασθαι· καὶ ῥᾷον ἀπελθοῦσαν εὐημερίαν ἀνακαλέσασθαι δι' ἐπιμελείας ἢ τὴν ὑπάρχουσαν διασώσασθαι. (Greg. Naz. *Or*. 4, 32.

2. Τῶν ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον[3] τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ[4] θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν[5]· εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου[6] ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι[7] ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι τῇ γνώμῃ ὑπηρετεῖν, ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. (Xenoph. *M. S.* II, 2.)

[1] Synt. 317. — [2] id. 8. note. — [3] id. 300. — [4] id. 345. — [5] id. 95. — [6] id. 160. note. — [7] id. 108.

THÈME X

La vie de l'homme est un chemin.

1. Ὁδὸς ὁ βίος ἡμῶν εἴρηται διὰ τὴν πρὸς τὸ τέλος ἑκάστου τῶν γεννηθέντων ἔπειξιν. Ὥσπερ γὰρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες αὐτομαθῶς ὑπὸ[1] τοῦ πνεύματος ἐπὶ λιμένας ἄγονται, κἂν αὐτοὶ μὴ αἰσθάνωνται, οὕτω καὶ ἡμεῖς, τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραρρέοντος, οἷόν τινι κινήσει συνεχεῖ καὶ ἀπαύστῳ πρὸς τὸ οἰκεῖον ἕκαστος πέ-

ρας τῷ λανθάνοντι δρόμῳ τῆς ζωῆς ἡμῶν κατεπειγόμεθα. Οἷον, καθεύδεις, καὶ ὁ χρόνος σε[2] παρατρέχει· ἐγρήγορας, καὶ ἄσχολος εἶ τὴν διάνοιαν· ἀλλ' ὅμως ζωὴ δαπανᾶται, κἂν τὴν αἴσθησιν ἡμῶν διαφεύγῃ.

2. Ὁδοιπόρος ἐφέστηκας τῷ βίῳ τούτῳ· πάντα παρέρχῃ, πάντα κατόπιν σου[3] γίνεται. Εἶδες ἐπὶ τῆς ὁδοῦ φυτὸν ἢ πόαν ἢ ὕδωρ ἢ ὅ τι ἂν τύχῃ[4] τῶν ἀξίων θεάματος· μικρὸν ἐτέρφθης, εἶτα παρέδραμες. Πάλιν ἐνέτυχες λίθοις, καὶ φάραγξι, καὶ κρημνοῖς, ἥπου καὶ θηρίοις, καὶ ἑρπετοῖς, καὶ ἀκάνθαις, καί τισιν ἄλλοις τῶν ὀχληρῶν· μικρὸν ἠνιάθης, εἶτα κατέλιπες. Τοιοῦτος ὁ βίος, οὔτε τὰ τερπνὰ μόνιμα, οὔτε τὰ λυπηρὰ διαρκῆ κεκτημένος[5].

3. Ἡ ὁδὸς οὐκ ἔστι σή, ἀλλ' οὐδὲ τὰ παρόντα σά. Ἐπὶ τῶν ὁδευόντων ὁμοῦ τε ὁ πρῶτος τὸ ἴχνος ἐκίνησε[6], καὶ εὐθὺς ὁ μετ' αὐτὸν τὴν βάσιν ἤνεγκε, καὶ μετ' ἐκεῖνον ὁ ἐφεπόμενος.

Σκόπει δὲ καὶ τὰ τοῦ βίου εἰ μὴ παραπλήσια. Σήμερον τὴν γῆν σὺ ἐγεώργησας, καὶ αὔριον ἄλλος, καὶ μετ' ἐκεῖνον ἕτερος. Ὁρᾷς τοὺς ἀγροὺς τούτους καὶ τὰς πολυτελεῖς οἰκίας; Πόσα ἤδη ὀνόματα τούτων ἕκαστον ἤμειψε; Τοῦ δεῖνος[7] ἐλέγετο, εἶτε μετωνομάσθη πρὸς ἕτερον· πρὸς τὸν δεῖνα μετῆλθεν, εἶτα νῦν ἄλλου λέγεται. Ἆρ' οὖν οὐχ ὁδὸς ἡμῶν ὁ Βίος ἄλλοτε ἄλλον, μεταλαμβάνων, καὶ πάντας ἔχων ἀλλήλοις[8] ἐφεπομένους; Μακάριος οὖν ὃς ἐπὶ τῆς ὁδοῦ τῶν ἁμαρτωλῶν οὐκ ἔστη. (S. Bas. *in Psalm.* I.)

[1] Synt. 158. — [2] id. 113. — [3] id. 180. [4] id. 243. — [5] id. 135. — [6] id. 137. — [7] id. 118. — [8] id. 106.

THÈME XI

Le blé.

Εἷς χόρτος καὶ μία βοτάνη ἐξαρκεῖ τὴν διάνοιάν σου

πᾶσαν εἰς τὴν θεωρίαν τῆς ἐξεργασαμένης αὐτὰ τέχνης ἀπασχολῆσαι · πῶς γόνασι διαζώννυται ἡ καλάμη τοῦ σίτου, ἵνα[1] ὥσπερ σύνδεσμοί τινες ῥᾳδίως τὸ βάρος τῶν ἀσταχύων φέρωσιν, ὅταν[2] πλήρεις ὄντες καρπῶν[3] πρὸς τὴν γῆν κατακλίνωνται. Διὰ τοῦτο ὁ μὲν βρόμος διόλου κενὸς, ἅτε μηδενὶ τὴν κεφαλὴν[4] βαρυνόμενος · τὸν δὲ σῖτον τοῖς συνδέσμοις τούτοις ἡ φύσις κατησφαλίσατο. Ἐν θήκῃ δὲ τὸν κόκκον ἀποθεμένη, ὡς μὴ εὐδιάρπαστον εἶναι τοῖς σπερμολόγοις τῶν ὀρνίθων · ἔτι καὶ τῇ προβολῇ τῶν ἀνθερίκων οἷον ἀκίσι τὰς ἐκ τῶν μικρῶν ζώων ἀφίστησι βλάβας. (S. Bas. *Hexaem.* V.)

[1] Synt. 216. — [2] id. 246. — [3] id. 44. — [4] id. 132, note.

THÈME XII

Beauté de la mer.

Ἡδὺ μὲν θέαμα λευκαινομένη θάλασσα, γαλήνης αὐτὴν σταθερᾶς κατεχούσης · ἡδὺ δὲ καὶ ὅταν πραείαις αὔραις τραχυνομένη τὰ νῶτα[1], πορφύρουσαν χρόαν ἢ κυανῆν τοῖς ὁρῶσι προσβάλλῃ · ὅτε οὐδὲ τύπτει βιαίως τὴν γείτονα χέρσον, ἀλλ' οἷον εἰρηνικαῖς τισιν αὐτὴν περιπλοκαῖς κατασπάζεται. Καλὴ δὲ ἡ θάλασσα, καὶ διότι ποταμῶν οὖσα δοχεῖον, εἰς ἑαυτὴν τὰ πανταχόθεν καταδέχεται ῥεύματα, καὶ μένει τῶν ὅρων εἴσω[2] τῶν ἑαυτῆς · καλὴ δὲ καὶ ὅτι τὰς πλεῖστον ἀλλήλων διεστώσας ἠπείρους συνάπτει, ὁδόν τε εὔπορον δι' ἑαυτῆς, καὶ ἀκώλυτον[3] τοῖς ναυτιλλομένοις τὴν ἐπιμιξίαν παρεχομένη. (S. Bas. *Hexaem.* IV.)

[1] Synt. 49 — [2] d. 180. — [3] id. 17.

THÈME XIII

Structure des animaux.

1. Μακρὸς ὁ τράχηλος τῆς καμήλου, ἵνα τοῖς ποσὶν ἐξισάζηται, καὶ ἐφικνῆται τῆς βοτάνης ἐξ ἧς ἀποζῇ. Βραχὺς καὶ τοῖς ὤμοις ἐνδεδυκὼς ὁ τράχηλος τῆς ἄρκτου· καὶ λέοντος δὲ καὶ τίγριδος, καὶ τῶν λοιπῶν ὅσα τούτου τοῦ γένους· ὅτι οὐκ ἐκ τῆς πόας αὐτοῖς ἡ τροφὴ, οὐδὲ ἀνάγκη πρὸς τὴν γῆν κατακύπτειν, σαρκοφάγοις οὖσι, καὶ ἐκ τῆς ἄγρας τῶν ζώων διαρκουμένοις.

2. Οὐχ ὁρᾷς ἐν τοῖς πολέμοις τοὺς ἐλέφαντας[1], ὅτι οἱονεὶ πύργοι τινὲς ἔμψυχοι τῆς φάλαγγος προηγοῦνται, ἢ βουνοί τινες σάρκινοι, ἀνυπόστατον[2] ἔχοντες τὴν ὁρμὴν τῶν ἐναντίων τὸν συνασπισμὸν διακόπτουσιν; Τοῦτο μέντοι ζῶον, τοσοῦτον ὂν τῷ μεγέθει, ὑποχείριον ἡμῖν κατέστησεν ὁ Θεὸς ὥστε[3] καὶ διδασκόμενον[4] συνέναι, καὶ τυπτόμενον καταδέχεσθαι, ἐναργῶς ἡμᾶς ἐκδιδάσκων ὅτι πάντα ὑπέταξεν ἡμῖν, διὰ τὸ κατ' εἰκόνα ἡμᾶς πεποιῆσθαι τοῦ κτίσαντος. (S. Bas. *Hexaem.* IX.)

[1] Synt, 208. — [2] id. 17. — [3] id. 58. — [4] id. 5.

THÈME XIV

Instinct des animaux.

1. Ὁ δημιουργήσας τὰ ζῶα Θεὸς τὴν τοῦ λόγου ἔλλειψιν διὰ τῆς τῶν αἰσθητηρίων περιουσίας παρεμυθήσατο. Πόθεν γὰρ ἐν μυρίοις προβάτοις ἀρνειὸς τῶν σηκῶν ἐξαλλόμενος οἶδε μὲν τὴν χροιὰν αὐτὴν[1] καὶ τὴν φωνὴν τῆς μητρὸς, καὶ πρὸς αὐτὴν ἐπείγεται, ἐπιζητεῖ δὲ τὰς οἰκείας πηγὰς τοῦ γαλακτος; Κἂν πενιχραῖς ταῖς μητρῴαις περιτύχῃ θηλαῖς, ἐκείναις ἀρκεῖται, πολλὰ παραδραμὼν οὔθατα βαρυνόμενα. Καὶ ἡ μήτηρ ἐν μυρίοις ἀρνάσιν

ἐπιγινώσκει τὸ ἴδιον. Φωνὴ μία, χρόα ἡ αὐτὴ, ὀσμὴ παρὰ πάντων ὁμοία, ὅσον τῇ ἡμετέρᾳ ὀσφρήσει παρίσταται, ἀλλ' ὅμως ἐστί τις αὐτοῖς αἴσθησις τῆς ἡμετέρας καταλήψεως ὀξυτέρα, καθ' ἣν ἑκάστῳ πάρεστιν ἡ τοῦ οἰκείου διάγνωσις.

2. Οὔπω οἱ ὀδόντες τῷ σκύλακι, καὶ ὅμως διὰ τοῦ στόματος ἀμύνεται τὸν λυπήσαντα· Οὔπω τὰ κέρατα τῷ μόσχῳ καὶ οἶδε ποῦ τὰ ὅπλα αὐτῷ ἐμφύεται. Ταῦτα ἀπόδειξιν ἔχει τοῦ ἀδιδάκτους[2] εἶναι τὰς φύσεις ἁπάντων, καὶ πάντα ἴχνη φέρειν τῆς τοῦ ποιήσαντος σοφίας. (S. Bas. *Hex.* IX, 4.)

[1] Synt. 25. — [2] id. 5 et 256, note 2.

THÈME XV

Le Chien.

Λόγου μὲν ἄμοιρος[1] ὁ κύων, ἰσοδυναμοῦσαν δὲ ὅμως τῷ λόγῳ τὴν αἴσθησιν ἔχει. Ἃ γὰρ μόλις ἐξεῦρον οἱ τοῦ κόσμου σοφοὶ, τὰς τῶν συλλογισμῶν λέγω πλοκὰς, ταῦτα δείκνυται παρὰ τῆς φύσεως ὁ κύων πεπαιδευμένος[2]. Τὸ γὰρ ἴχνος τοῦ θηρίου διερευνώμενος, ἐπειδὰν εὕρῃ αὐτὸ πολυτρόπως σχιζόμενον, τὰς ἑκασταχοῦ φερούσας ἐκτροπὰς ἐπελθὼν μονονουχὶ[3] τὴν συλλογιστικὴν φωνὴν ἀφίησι δι' ὧν[4] πράσσει· « Ἢ τήνδε, φησὶν, ἐτράπη τὸ θηρίον, ἢ τήνδε[5], ἢ ἐπὶ τόδε τὸ μέρος· ἀλλὰ μὴν οὔτε τήνδε, λειπόμενόν ἐστι τῇδε ὡρμῆσθαι αὐτό· » καὶ οὕτως ἀναιρέσει τῶν ψευδῶν εὑρίσκει τὸ ἀληθές. Τί περισσότερον ποιοῦσιν οἱ ἐπὶ τῶν διαγραμμάτων σεμνῶς καθεζόμενοι, καὶ την κόνιν καταχαράσσοντες, τριῶν προτάσεων ἀναιροῦντες τὰς δύο, καὶ ἐν τῇ λειπομένῃ τὸ ἀληθὲς ἐξευρίσκοντες ;

Τὸ δὲ μνημονικὸν[6] τῆς χάριτος τοῦ ζώου, τίνα τῶν

ἀχαρίστων πρὸς εὐεργέτας οὐ καταισχύνει; ὅπου γε καὶ φονευθεῖσι δεσπόταις κατ' ἐρημίαν, πολλοὶ τῶν κυνῶν ἐπαποθανόντες μνημονεύονται. (S. Bas. *Hex.* IX.)

[1] Synt. 43. — [2] id. 93. — [3] id. 334. — [4] id. 76. — [5] Sous-entendu ὁδόν, Synt. 268. — [6] id. 11 et note.

THÈME XVI

L'Alcyon.

Ἀλκυών ἐστι θαλάττιον ὄρνεον. Αὕτη παρ' αὐτοὺς[1] νοσσεύειν τοὺς αἰγιαλοὺς πέφυκεν[2], ἐπ' αὐτῆς[3] τὰ ὠὰ τῆς ψάμμου καταθεμένη· καὶ νοσσεύει κατὰ μέσον που τὸν χειμῶνα, ὅτε[4] πολλοῖς καὶ βιαίοις ἀνέμοις ἡ θάλασσα τῇ γῇ προσαράσσεται. Ἀλλ' ὅμως κοιμίζονται μὲν πάντες ἄνεμοι, ἡσυχάζει δὲ κῦμα θαλάσσιον, ὅταν[5] ἀλκυὼν ἐπωάζῃ τὰς ἑπτὰ ἡμέρας[6]. Ἐν τοσαύταις γὰρ μόναις[7] ἐκλεπίζει τοὺς νεοττούς. Ἐπεὶ δὲ καὶ τροφῆς αὐτοῖς χρεία, ἄλλας ἑπτὰ πρὸς τὴν τῶν νεοττῶν αὔξησιν ὁ μεγαλόδωρος Θεὸς τῷ μικροτάτῳ ζώῳ παρέσχετο. Ὥστε καὶ ναυτικοὶ πάντες ἴσασι τοῦτο, καὶ ἀλκυονίδας τὰς ἡμέρας ἐκείνας προσαγορεύουσιν. (S. Bas. *Hex.* VIII, 5.)

[1] Synt. 25. — [2] id. 316. — [3] id. 25. — [4] id. 244. — [5] ὅταν fait entendre que, quelle que soit l'époque où l'Alcyon commence à couver aussitôt les vents s'apaisent. — [6] Synt. 162. — [7] id. 164, Rem, 2.

THÈME XVII

Le Cygne.

Τὰ φίλυδρα τῶν ζώων πόδας ἔχει οὔτε διεσχισμένους, ὡς τοὺς τῆς κορώνης, οὔτε ἀγκύλους, ὡς τοὺς τῶν σαρκοφάγων, ἀλλὰ πλατεῖς καὶ ὑμενώδεις, ἵνα ῥᾳδίως ἐπινήχωνται τῷ ὕδατι, οἱονεὶ κώπαις τισὶ τοῖς τῶν ποδῶν

ὑμέσι τὸ ὑγρὸν διωθούμενοι. Ἐὰν δὲ καταμάθῃς, ὅπως εἰς βάθος ὁ κύκνος καθιεὶς τὸν αὐχένα κάτωθεν ἑαυτῷ τὴν τροφὴν ἀναφέρει[1], τότε εὑρήσεις τὴν σοφίαν τοῦ κτίσαντος, ὅτι διὰ τοῦτο μακρότερον τῶν ποδῶν τὸν αὐχένα προσέθηκεν, ἵνα ὥσπερ τινὰ ὁρμιὰν κατάγων, τὴν ἐν τῷ βάθει κεκρυμμένην τροφὴν ἐκπορίζηται[2]. (S. Bas. *Hex.* VIII.)

[1] Synt. 242; ici ὅπως équivaut à τὸν τρόπον ᾧ, et renferme un antécédent déterminé. — [2] id. 124.

THÈME XVIII

Disposition des esprits au commencement de la guerre du Péloponnèse.

1. Οἱ Ἀθηναῖοι παρεσκευάζοντο πολεμήσοντες· παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι. Ὀλίγον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ' ἔρρωντο ἐς τὸν πόλεμον. Οὐκ ἀπεικότως· ἀρχόμενοι γὰρ πάντες ὀξύτερον ἀντιλαμβάνονται. Τότε δὴ καὶ νεότης πολλὴ μὲν οὖσα ἐν τῇ Πελοποννήσῳ, πολλὴ δὲ ἐν ταῖς Ἀθήναις οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο[1] τοῦ πολέμου· ἥ τε ἄλλη[2] Ἑλλὰς πᾶσα μετέωρος ἦν, ξυνιουσῶν τῶν πρώτων πόλεων.

2. Καὶ πολλὰ μὲν λόγια ἐλέγετο, πολλὰ δὲ χρησμολόγοι ᾖδον, ἐν[3] τε τοῖς μέλλουσι[4] πολεμήσειν, καὶ ἐν ταῖς ἄλλαις πόλεσιν. Ἔτι δὲ Δῆλος ἐκινήθη ὀλίγον πρὸ τούτων, πρότερον οὔπω σεισθεῖσα, ἀφ' οὗ Ἕλληνες μέμνηνται. Ἐλέγετο δὲ καὶ ἐδόκει ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι. Εἴτε τι ἄλλο τοιουτότροπον ξυνέβη γενέσθαι, πάντα ἀνεζητεῖτο.

3. Ἡ δὲ εὔνοια παραπολὺ ἐπῄει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς Λακεδαιμονίους, ἄλλως τε[5] καὶ προειπόντων ὅτι τὴν Ἑλλάδα ἐλευθεροῦσιν. Ἔρρωτό τε πᾶς καὶ ἰδιώτης

καὶ πόλις, εἴ τι δύναιτο καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς· ἐν τούτῳ τε κεκωλύσθαι εδόκει ἑκάστῳ τὰ πράγματα, ᾧ μή τις αὐτὸς παρέσται. Οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν τῆς ἀρχῆς ἀπολυθῆναι[6] βουλόμενοι, οἱ δὲ μὴ ἀρχθῶσι φοβούμενοι[7]. (Thuc. II, 8.)

[1] Synt. 86. — [2] id. 24. — [3] id. 171. — [4] id. 315. — [5] id. 333. — [6] id. 100. — [7] id. 195. Rem. 2.

THÈME XIX

Les Athéniens vaincus se retirent de devant Syracuse.

1. Δεινὰ ἦν πάντα τοῖς Ἀθηναίοις· τάς τε γὰρ ναῦς ἀπολωλεκότες[1] πάσας ἀπεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες. Ἐν δὲ τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι[2]. Τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι[3] τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο· καὶ οἱ ζῶντες καταλειπόμενοι, τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων[4] ἀθλιώτεροι.

2. Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι, ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων· τῶν τε συσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ὅσον δύναιντο, εἴ τῳ[5] δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολει πόμενοι· ὥστε δάκρυσι[6] πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ, μὴ ῥᾳδίως ἀφορμᾶσθαι. καίπερ ἐκ πολεμίας τέ, καὶ μείζω ἢ κατὰ[7] δάκρυα

τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μή τι πάθωσι[8].

3. Κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν[9] πολλὴ ἦν. Οὐδὲν γὰρ ἄλλο[10] ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ[11] οὐ σμικρᾷ. μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. (Thuc. VII, 75.)

[1] *Gramm.* 72, observation. — [2] Synt. 51. — [3] id. 245. — [4] *Gramm.*, 72, observ. — [5] *Gramm.* 39, note 2. — [6] Synt. 99, note. — [7] id. 361. — [8] id. 195, Rem. 2. — [9] id. 65. — [10] id. 267. — [11] id. 305.

THÈME XX

Discours de Nicias.

1. Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν, καὶ ἐν μεγάλῃ μεταβολῇ ὄν, ἐπιπαριὼν, ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο.

« Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ ἄνδρες Ἀθηναῖοι καὶ ξύμμαχοι, ἐλπίδα χρὴ ἔχειν (ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε[1] ἐσώθησαν), μητὲ καταμέμφεσθαι ὑμᾶς ἄγαν αὐτοὺς μήτε ταῖς ξυμφοραῖς, μήτε ταῖς παρὰ τὴν ἀξίαν κακοπαθείαις. Ἱκανὰ γὰρ τοῖς τε πολεμίοις εὐτύχηται· καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρατεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. Ἡμᾶς οὖν εἰκὸς νῦν τά τε ἀπὸ τοῦ Θεοῦ ἐλπίζειν ἠπιώτερα ἕξειν (οἴκτου γὰρ ἀπ' αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου), καὶ ὁρῶντες ὑμᾶς αὐτοὺς[2] οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυντεταγμένοι χωρεῖτε, μὴ καταπέπληχθε ἄγαν· λογίζεσθε δὲ, ὅτι αὐτοί τε πόλις εὐθύς ἐστε ὅποι ἂν καθέζοισθε[3], καὶ ἄλλη οὐδεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο ῥαδίως, οὔτ' ἂν δρυθέντας που ἐξαναστήσειε.

2. « Τὸ δὲ ξύμπαν, γνῶτε, ὦ ἄνδρες στρατιῶται,

ἀναγκαῖόν τε ὂν[4] ὑμῖν ἀνδράσιν ἀγαθοῖς γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἄν, μαλακισθέντες, σωθείητε· καὶ ἢν νῦν διαφύγητε τοὺς πολεμίους, οἵ τε ἄλλοι[5] τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως, καίπερ πεπτωκυῖαν ἐπανορθώσοντες. Ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί. » (Thuc. VII, 77.

[1] Synt. 53. note. — [2] id. 208. — [3] id. 243; ὅποι désigne le mouvement: partout où vous *irez* vous asseoir. — [4] id. 244. — [5] Οἵ τε ἄλλοι (γνῶτε) τευξόμενοι, 212.

THÈME XXI

Marche des Athéniens.

1. Ἐπειδὴ δ' ἐγένοντο οἱ Ἀθηναῖοι ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακουσίων καὶ ξυμμάχων[1], καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες[2] τοῦ πόρου, ἐχώρουν ἐς τὸ πρόσθεν. Οἱ δὲ Συρακούσιοι, παριππεύοντές τε προσέκειντο καὶ ἐσακοντίζοντες οἱ ψιλοί. Καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρωῒ ἐπορεύοντο, καὶ προῆλθον ὡς εἴκοσι σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι, καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον (ᾠκεῖτο γὰρ ὁ χῶρος) καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν.

2. Οἱ δὲ Συρακούσιοι ἐν τούτῳ προελθόντες, τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον. Ἦν δὲ λόφος καρτερός, καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης. Τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακουσίων καὶ ξυμμάχων αὐτοὺς ἱππεῖς καὶ ἀκοντισταί, ὄντες πολλοὶ ἑκάτεροι, ἐκώλυον, καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον.

Καὶ χρόνον[3] μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα δὲ ἀνεχώρησαν πάλιν εἰς τὸ αὐτὸ στρατόπεδον· καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως εἶχον· οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ὑπὸ τῶν ἱππέων. (Thuc. VII, 78.)

[1] Synt. 33 et 91. — [2] id. 90. — [3] id. 162.

THÈME XXII

Passage de l'Assinare.

1. Νικίας δὲ ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. Καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι σφίσιν[4] ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμὸν, ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. Ὡς δὴ γίγνονται ἐπ' αὐτῷ ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι[2], ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος, καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη πὴν διάβασιν ἐποίουν.

2. Ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν, ἐνέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. Ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακούσιοι (ἦν δὲ κρημνῶδες) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους, καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. Οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες, τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. Καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο· ἀλλ' οὐδὲν ἧσσον ἐπίνετο τε ὁμοῦ τῷ πηλῷ ἡματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς[3]. (Thuc. VII, 84.)

[1] Synt. 66, Rem. — [2] ἔτι, *jam*. — [3] Synt. 23.

THÈME XXIII

Fin de l'expédition des Athéniens en Sicile.

1. Τῶν Ἀθηναίων μέρος τι οὐκ ὀλίγον ἀπέθανε· πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. Πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ παραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες ὕστερον. (Thuc. VII, 85.)

2. Οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους [1] καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. Καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν συμμάχων, ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν. Νικίαν δὲ καὶ Δημοσθένην, ἄκοντος Γυλίππου, ἀπέσφαξαν. (Thuc. VII, 86.)

3. Ξυνέβη ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, καὶ τοῖς τε κρατήσασι λαμπρότατον, καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον. Κατὰ πάντα γὰρ πάντως νικηθέντες, καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δή, τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ τι οὐκ [2] ἀπώλετο· καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. (Thuc. VII, 87.)

[1] Synt. 296. — [2] Οὐδέν (ἐστιν) ὅτι οὐκ, Synt. 492, et 238.

THÈME XXIV

Les Quarante Martyrs de Sébaste.

1. Οὐκ ἦν μία πατρὶς τοῖς ἁγίοις· ἄλλος γὰρ ἀλλαχόθεν ὥρμητο. Οὗτοι μεγέθει σώματος καὶ δυνάμει τῶν καθ' ἑαυτοὺς ἁπάντων διενεγκόντες, εἰς τοὺς στρατιωτικοὺς τελεῖν ἐτάχθησαν καταλόγους· καὶ δι' ἐμπειρίαν πολεμικὴν καὶ ἀνδρείαν ψυχῆς, ἤδη τὰς πρώτας εἶχον

παρὰ βασιλέων τιμάς, ὀνομαστοὶ παρὰ πᾶσιν ὄντες δι' ἀρετήν.

2. Ἐπειδὴ δὲ περιηγγέλθη τὸ ἄθεον καὶ ἀσεβὲς κήρυγμα, μὴ ὁμολογεῖν τὸν Χριστὸν ἢ κινδύνους ἐκδέχεσθαι, οὗτοι οἱ ἀήττητοι καὶ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, παρελθόντες εἰς μέσους, ἐλευθέρᾳ τῇ φωνῇ, εὐθαρσῶς καὶ ἀνδρείως, οὐδὲν ὑποπτήξαντες τῶν ὁρωμένων, οὐδὲ καταπλαγέντες τὰ ἀπειλούμενα, Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν. Ὦ μακάριαι γλῶσσαι, ὅσαι τὴν ἱερὰν ἐκείνην ἀφῆκαν φωνήν, ἣν ἀὴρ μὲν δεξάμενος ἡγιάσθη[2], ἄγγελοι δὲ ἀκούσαντες ἐπεκρότησαν, Κύριος δὲ ἐν οὐρανοῖς ἀπεγράψατο.

3. Τί οὖν ὁ κρατῶν τότε; Δεινὸς γὰρ ἦν καὶ ποικίλος τὰ μὲν θωπείαις ὑπελθεῖν[3], τὰ δὲ ἀπειλαῖς παρατρέψαι. Πρῶτον μὲν οὖν αὐτοὺς κατεγοήτευε ταῖς θωπείαις, τὸν τόνον τῆς εὐσεβείας παραλύειν πειρώμενος. Ὡς δὲ οὐκ ἐνεδίδοσαν πρὸς τὴν πεῖραν ταύτην, πληγὰς αὐτοῖς καὶ θανάτους ἐπανετείνετο. Καὶ ὁ μὲν τοιαῦτα, τὰ δὲ τῶν μαρτύρων ὁποῖα;

[1]Synt. 102.—[2] *Emiserunt vocem, quam recipiens aer sanctificatus est;* construction difficile dont voici l'analyse. La phrase complète serait : φωνὴν ἀφῆκαν, ᾗ δεξάμενος (αὐτὴν) ἀὴρ ἡγιάσθη. Mais on a retranché αὐτὴν comme déjà contenu dans le conjonctif ᾗ ; puis on a uni ce conjonctif à δεξάμενος au lieu d'en faire le régime de ἡγιάσθη plus éloigné. — [3] Synt. 51.

THÈME XXV

Discours des Quarante Martyrs au tyran.

1. « Τί, φησί, δελεάζεις ἡμᾶς, ὦ θεομάχε, ἀποστῆναι[1] ἀπὸ Θεοῦ ζῶντος, καὶ δουλεύειν δαίμοσιν ὀλεθρίοις, προτεινόμενος ἡμῖν τὰ σὰ ἀγαθά; Τί τοσοῦτον δίδως ὅσον ἀφελέσθαι σπουδάζεις; Μισῶ δωρεὰν ζημίας πρόξενον· οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα.

2. « Ὁρᾷς τὸν οὐρανὸν τοῦτον[2], ὡς καλὸς ἰδεῖν, ὡς δὲ μέγας ; καὶ τὴν γῆν, ἡλίκη[3] ; καὶ τὰ ἐν αὐτῇ θαύματα ; οὐδὲν τούτων ἐξισοῦται τῇ μακαριότητι τῶν δικαίων. Ταῦτα μὲν γὰρ παρέρχεται· τὰ δὲ ἡμέτερα μένει. Μιᾶς ἐπιθυμῶ δωρεᾶς, τοῦ στεφάνου τῆς δικαιοσύνης· περὶ μίαν δόξαν ἐπτόημαι, τὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

3. « Βέλη νηπίων λογίζομαι τὰς πληγὰς ὑμῶν. Σῶμα γὰρ τύπτεις· ὅπερ, ἐὰν μὲν ἐπὶ πλεῖον ἀντίσχῃ, λαμπρότερον στεφανοῦται· ἐὰν δὲ θᾶττον ἀπαγορεύσῃ, οἴχεται ἀπαλλαγὲν δικαστῶν οὕτω βιαίων, οἳ σωμάτων ὑπηρεσίαν παραλαβόντες, ἔτι καὶ τῶν ψυχῶν κατάρχειν φιλονεικεῖτε· οἵ γε, εἰ μὴ καὶ τοῦ Θεοῦ ἡμῶν προτιμηθείητε, ὡς τὰ ἔσχατα ὑβρισμένοι παρ' ἡμῶν χαλεπαίνετε, καὶ τὰς φοβερὰς ταύτας κολάσεις ἐπανατείνεσθε, ἔγκλημα ἡμῖν ἐπάγοντες τὴν εὐσέβειαν. Ἀλλὰ γὰρ οὐ δειλοῖς, οὐδὲ φιλοζώοις, οὐδ' εὐκαταπλήκτοις ἐντεύξεσθε, ὑπὲρ τῆς εἰς Θεὸν ἀγάπης. Οἵδε ἡμεῖς καὶ τροχίζεσθαι, καὶ στρεβλοῦσθαι, καὶ καταπίμπρασθαι, καὶ πᾶν εἶδος βασανιστηρίων ἕτοιμοι καταδέχεσθαι. »

[1] Synt. 120. — [2] id. 208.

THÈME XXVI

Ils sont condamnés à mourir de froid.

1. Ἐπεὶ δὲ τούτων ἤκουσεν ὁ ἀλαζὼν ἐκεῖνος καὶ βάρβαρος, οὐκ ἐνεγκὼν τῶν ἀνδρῶν τὴν παρρησίαν, ὑπερζέσας τῷ θυμῷ, ἐσκόπει τίνα ἂν ἐξεύροι μηχανὴν, ὥστε μακρόν τε αὐτοῖς καὶ πικρὸν ὁμοῦ κατασκευάσαι τὸν θάνατον· περισκεψάμενος οὖν τὴν φύσιν τῆς χώρας ὅτι κρυμώδης[1], καὶ τὴν ὥραν τοῦ ἔτους ὅτι χειμέριος· νύκτα ἐπιτηρήσας ἐν ᾗ μάλιστα τὸ δεινὸν ἐπιτείνεται[2], πάντας ἐκέλευσε

γυμνωθέντας ὑπὸ τὸ αἴθριον ἐν μέσῃ τῇ πόλει πηγνυμένους ἀποθανεῖν.

2. Τότε γοῦν αἴθριοι διανυκτερεύειν κατεδικάσθησαν, ὅτε λίμνη μὲν περὶ ἣν ἡ πόλις κατῴκισται, ἐν ᾗ ταῦτα διήθλουν οἱ ἅγιοι, οἷόν τι πεδίον ἱππήλατον ἦν, μεταποιήσαντος αὐτὴν τοῦ κρυστάλλου. ποταμοὶ δὲ τῷ κρύει δεθέντες τῶν ῥείθρων ἔστησαν· ἥ τε ἁπαλὴ τοῦ ὕδατος φύσις πρὸς τὴν τῶν λίθων ἀντιτυπίαν μετεποιήθη· βορέου δὲ δριμεῖαι πνοαὶ τὸ ἔμψυχον ἅπαν ἐπὶ τὸν θάνατον ἤπειγον.

3. Τότε τοίνυν ἀκούσαντες τοῦ προστάγματος[3] (καὶ σκόπει μοι[4] ἐνταῦθα τῶν ἀνδρῶν τὸ ἀήττητον) μετὰ χαρᾶς ἀποῤῥίψαντες ἕκαστος καὶ τὸν τελευταῖον χιτῶνα, πρὸς τὸν διὰ τοῦ κρύους ἐχώρουν θάνατον, ὥσπερ ἐν σκύλων διαρπαγῇ ἀλλήλοις ἐγκελευόμενοι.

[1] Synt. 208. — [2] id. 133. — [3] id. 86. — [4] Le pronom μοι est ici explétif comme dans ce vers français : Prends-*moi* le bon parti ; laisse là tous les livres.

THÈME XXVII

Les Quarante Martyrs s'encouragent mutuellement.

1. « Μὴ γὰρ ἱμάτιον, φησὶν, ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. Εὐχαριστοῦμέν σοι, Κύριε, τῷ ἱματίῳ τούτῳ τὴν ἁμαρτίαν συναποβάλλοντες[1]. Δριμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀνάπαυσις· μικρὸν ἀναμείνωμεν, καὶ ὁ κόλπος ἡμᾶς θάλψει τοῦ Πατριάρχου. Μιᾶς νυκτὸς ὅλον αἰῶνα ἀνταλλαξώμεθα[2].

2. « Πόσοι τῶν στρατιωτῶν[3] τῶν ἡμετέρων ἐπὶ παρατάξεως ἔπεσον, βασιλεῖ φθαρτῷ τὴν πίστιν φυλάττοντες ; ἡμεῖς δὲ ὑπὲρ τῆς εἰς τὸν ἀληθινὸν βασιλέα πίστεως τὴν

ζωὴν ταύτην οὐ προησόμεθα; Πόσοι τὸν τῶν κακούργων ὑπέστησαν θάνατον, ἁλόντες ἐπ' ἀδικήμασιν; Ἡμεῖς δὲ ὑπὲρ δικαιοσύνης τὸν θάνατον οὐχ ὑποίσομεν; Μὴ ἐκκλίνωμεν, ὦ συστρατιῶται, μὴ δῶμεν νῶτα τῷ διαβόλῳ. Ἐπειδὴ δεῖ πάντως ἀποθανεῖν, ἀποθάνωμεν, ἵνα ζήσωμεν. Γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου, Κύριε, καὶ προσδεχθείημεν[4] ὡς θυσία ζῶσα, εὐάρεστός σοι· καλὴ ἡ προσφορὰ, καινὸν τὸ ὁλοκαύτωμα, οὐ διὰ πυρὸς, ἀλλὰ διὰ κρύους ὁλοκαρπούμενον. »

3. Τούτους τοὺς παρακλητικοὺς ἐνδιδόντες λόγους ἀλλήλοις, καὶ ἄλλος ἄλλῳ ἐγκελευόμενοι, ὥσπερ τινὰ προφυλακὴν ἐν πολέμῳ πληροῦντες, τὴν νύκτα παρέπεμπον, φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις[5], καταγελῶντες τοῦ ἀντιπάλου[6]. Μία δὲ ἦν πάντων εὐχή· « Τεσσαράκοντα εἰσήλθομεν εἰς τὸ στάδιον, οἱ τεσσαράκοντα[7] στεφανωθείημεν[8], ὦ Δέσποτα. »

[1] Synt. 113. — [2] *ibid.* — [3] Synt. 63. — [4] id. 145. — [5] id. 109. — [6] id. 114. — [7] id. 9. — [8] id. 145.

THÈME XXVIII

Un des Martyrs succombe.

1. Καὶ ἡ μὲν ἐκείνων εὐχὴ τοιαύτη· εἷς δὲ τοῦ ἀριθμοῦ ὀκλάσας πρὸς τὰ δεινὰ, λειποτακτήσας ᾤχετο, πένθος ἀμύθητον τοῖς ἁγίοις καταλιπών. Ἀλλ' οὐ γὰρ[1] ἀφῆκεν αὐτῶν ἀτελεῖς γενέσθαι τὰς δεήσεις ὁ Κύριος. Ὁ γὰρ τὴν φυλακὴν[2] τῶν μαρτύρων πεπιστευμένος, ἐγγύθεν ἀπό τινος γυμνασίου διαθαλπόμενος, ἀπεσκόπει τὸ μέλλον, ἕτοιμος προσδέχεσθαι τῶν στρατιωτῶν τοὺς προσφεύγοντας. Καὶ γὰρ αὖ[3] καὶ τοῦτο, ἐγγύθεν εἶναι λουτρὸν, ἐπενοήθη, ὀξεῖαν τὴν βοήθειαν τοῖς μεταβαλλομένοις ἐπαγγελλόμενον.

2. Ὡς δὲ οἱ μὲν ἠγωνίζοντο, ὁ δὲ ἐπετήρει τὸ ἐκβησόμενον, εἶδε θέαμα ξένον, δυνάμεις τινὰς ἐξ οὐρανῶν κατιούσας, καὶ οἷον παρὰ βασιλέως δωρεὰς μεγάλας διανεμούσας τοῖς στρατιώταις· αἳ τοῖς μὲν ἄλλοις πᾶσι διήρουν τὰ δῶρα, ἕνα δὲ μόνον ἀφῆκαν ἀγέραστον, ἀνάξιον κρίνασαι τῶν οὐρανίων τιμῶν· ὃς εὐθὺς πρὸς τοὺς πόνους ἀπαγορεύσας, πρὸς τοὺς ἐναντίους ἀπηυτομόλησεν.

3. Ἐλεεινὸν θέαμα τοῖς δικαίοις ὁ στρατιώτης φυγὰς, ὁ ἀριστεὺς αἰχμάλωτος, τὸ Χριστοῦ πρόβατον θηριάλωτον· καὶ τό γε ἐλεεινότερον, ὅτι καὶ τῆς αἰωνίου ζωῆς διήμαρτε[4], καὶ οὐδὲ ταύτης ἀπήλαυσεν, εὐθὺς αὐτῷ τῆς σαρκὸς ἐν τῇ προσβολῇ τῆς θέρμης διαλυθείσης.

[1] Inversion pour ἀλλὰ γὰρ οὐκ ἀφῆκεν, mais aussi Dieu ne permit pas... Γὰρ équivaut à γε ἄρα, certes donc. Pour rendre exactement tous ces mots il faut dire : mais aussi Dieu ne permit pas certes — [2] Synt. 132. — [3] Αὖ, en outre. — [4] Synt. 89.

THÈME XXIV

Il est remplacé.

1. Καὶ ὁ μὲν φιλόζωος ἔπεσεν ἀνορμήσας διακενῆς· ὁ δὲ δήμιος, ὡς εἶδεν αὐτὸν ἐκκλίναντα, καὶ πρὸς τὸ βαλανεῖον ἀποδραμόντα, ἑαυτὸν εἰς τὴν τοῦ λειποτακτήσαντος χώραν ἀντικατέστησε, καὶ ῥίψας τὰ περιβόλαια, τοῖς γυμνοῖς ἑαυτὸν ἐγκατέμιξε, κράζων τὴν αὐτὴν[1] βοὴν τοῖς ἁγίοις, « Χριστιανός εἰμι ! »

2. Καὶ τῷ ἀθρόῳ τῆς μεταβολῆς ἐκπλήξας τοὺς συμπαρόντας, τόν τε ἀριθμὸν ἀνεπλήρωσε, καὶ τὴν ἐπὶ τῷ καταμαλακισθέντι λύπην τῇ παρ' ἑαυτοῦ προσθήκῃ παρεμυθήσατο, μιμησάμενος τοὺς ἐπὶ παρατάξεως, οἳ τοῦ κατὰ τὴν πρώτην ἀσπίδα πεσόντος εὐθὺς ἀναπληροῦσι τὴν φάλαγγα, ὡς μὴ τὸν συνασπισμὸν αὐτοῖς διακοπῆναι τῷ λείποντι.

3. Τοιοῦτον δή τι καὶ αὐτὸς ἐποίησεν. Εἶδε τὰ οὐράνια θαύματα, ἐπέγνω τὴν ἀλήθειαν, προσέφυγε τῷ Δεσπότῃ, συνηριθμήθη τοῖς μάρτυσιν. Ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐβαπτίσθη εἰς αὐτὸν, οὐχ ὑπὸ ἄλλου, ἀλλ' ὑπο τῆς οἰκείας πίστεως· οὐκ ἐν ὕδατι, ἀλλ' ἐν τῷ ἰδίῳ αἵματι.

[1] Synt. 46.

THÈME XXX

Gloire des Quarante Martyrs.

1. Καὶ οὕτως ἡμέρας ἀρχομένης, ἔτι ἐμπνέοντες [1] τῷ πυρὶ παρεδόθησαν, καὶ τὰ τοῦ πυρὸς λείψανα ἐπὶ τὸν ποταμὸν ἀπερρίφη. Ἐκείνων ἐστὶν ἡ φωνή· « Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. »

2. Οὗτοί εἰσιν οἱ τὴν καθ' ἡμᾶς χώραν διαλαβόντες, οἱονεὶ πύργοι τινὲς συνεχεῖς, ἀσφάλειαν ἐκ τῆς τῶν ἐναντίων καταδρομῆς παρεχόμενοι. Ὁ θλιβόμενος ἐπὶ τοὺς τεσσαράκοντα καταφεύγει· ὁ εὐφραινόμενος ἐπ' αὐτοὺς ἀποτρέχει. ὁ μὲν, ἵνα λύσιν εὕρῃ τῶν δυσχερῶν, ὁ δὲ ἵνα φυλαχθῇ αὐτῷ τὰ χρηστότερα. Ἐνταῦθα γυνὴ εὐσεβὴς ὑπὲρ τέκνων εὐχομένη καταλαμβάνεται, ἀποδημοῦντι ἀνδρὶ [2] τὴν ἐπάνοδον αἰτουμένη, ἀῤῥωστοῦντι σωτηρίαν. Οἱ νεανίσκοι τοὺς ἡλικιώτας μιμείσθωσαν· οἱ πατέρες τοιούτων εἶναι παίδων πατέρες εὐχέσθωσαν· αἱ μητέρες καλῆς μητρὸς διήγημα διδαχθωσαν [3].

[1] *Gramm.* 99. — [2] Synt. 346, Rem. — [3] id. 131.

THÈME XXXI

Courage de la mère d'un des Quarante Martyrs.

1. Μήτηρ ἑνὸς τῶν μακαρίων ἐκείνων θεασαμένη τοὺς ἄλλους ἤδη τῷ κρύει τελειωθέντας, τὸν δὲ ἑαυτῆς υἱὸν ἔτι

ἐμπνέοντα ὑπό τε ῥώμης καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, καταλιμπανόντων αὐτὸν τῶν δημίων, ὡς δυνάμενον γε μεταβουλεύσασθαι, αὐτὴ ταῖς οἰκείαις χερσὶν ἀραμένη ἐπέθηκε τῇ ἁμάξῃ, ἐφ' ἧς οἱ λοιποὶ συγκείμενοι πρὸς τὴν πυρὰν ἤγοντο, μάρτυρος ὄντως μήτηρ[1].

2. Οὐ γὰρ δάκρυον ἀφῆκεν ἀγεννὲς, οὐδ' ἐφθέγξατο ταπεινόν τι καὶ ἀνάξιον τοῦ καιροῦ. Ἀλλ', ἄπιθι, φησίν, ὦ παῖ, τὴν ἀγαθὴν πορείαν[2], μετὰ τῶν συσκήνων · μὴ ἀπολειφθῇς[3] τῆς χορείας· μὴ δεύτερος[4] τῶν ἄλλων ἐμφανισθῇς τῷ Δεσπότῃ.

3. Ὄντως ἀγαθῆς ῥίζης ἀγαθὸν βλάστημα. Ἔδειξεν ἡ γενναία μήτηρ ὅτι δόγμασιν εὐσεβείας ἐξέθρεψεν αὐτὸν, μᾶλλον ἢ γάλακτι. Καὶ ὁ μὲν οὕτω τραφεὶς οὕτω προεπέμφθη παρὰ μητρὸς εὐσεβοῦς, ὁ δὲ διάβολος ἀπῆλθε κατησχυμμένος[5]. Ἅπασαν γὰρ ἐπ' αὐτοὺς κινήσας τὴν κτίσιν, πάντα εὗρεν ἡττωμένα τῆς τῶν ἀνδρῶν ἀρετῆς[6].

4. Ὦ χορὸς ἅγιος! ὦ σύνταγμα ἱερόν! ὦ συνασπισμὸς ἀῤῥαγής! ὦ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων! δεήσεως συνεργοὶ, πρεσβευταὶ δυνατώτατοι, ἀστέρες τῆς οἰκουμένης, ἄνθη τῶν ἐκκλησιῶν, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. (S. Bas. t. II, p. 150.)

[1] Ce martyr. le plus jeune de tous ses compagnons, s'appelait *Melithon* (Brev. Rom. 10 mars.), — [2] id. 112 et 268. — [3] id. 149. — [4] id. 42. — [5] *Gramm* 64. Rem. — [6] Synt. 102.

THÈME XXXII

Preuve de la Religion.

I

1. Οὕτως ἡμεῖς τοὺς ἀπίστους συλλογιζόμεθα. Εἰ γὰρ ὁ Χριστὸς οὐκ ἀνέστη. ἀλλὰ μένει νεκρὸς, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ Ἀπόστολοι σημεῖα ἐποίησαν; Ἀλλ' οὐκ ἐποίησαν σημεῖα; Πῶς οὖν συνέστη τὸ ἔθνος τὸ

ἡμέτερον; Οὐ γὰρ δὴ καὶ πρὸς τοῦτο ἀντιστήσονται, οὐδὲ τοῖς ὁρωμένοις μαχήσονται.

2. Ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς καταισχύνουσι. Τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. Οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς. Ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν· ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτα ποτέ.

II

3. Οἱ Ἀπόστολοι παρ' αὐτοῖς τοῖς πεφονευκόσι τὸν Χριστὸν παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη, ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. Ὅτε γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνονται πεπιστευκότες εὔδηλον ὅτι τῆς ἀναστάσεως ἐναργής ἐστιν ἡ ἀπόδειξις. (S. Chrysost. *Act. Ap. Hom.* I, n. 4.)

THÈME XXXIII

Lettre de S. Ignace aux Romains.

1. Ἀπὸ Συρίας μεχρὶ Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, δεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτῶν τάγμα· οἳ καὶ εὐεργετουμένοι χείρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι. Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων, καὶ εὔχομαι ἕτοιμά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχὶ φειδόμενα,

ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. Κἂν αὐτὰ δὲ ἄκοντα μὴ θελήσῃ, ἐγὼ προσβιάσομαι.

2. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει ἐγὼ γινώσκω. Νῦν ἄρχομαι μαθητὴς εἶναι· Μηδέν με ζηλώσῃ τῶν ὁρατῶν καὶ ἀοράτων ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρὸς, θηρίων τε συστάσεις, ἀνατομαὶ, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλήσεις ὅλου τοῦ σώματος, κακαὶ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτυχῶ.

3. Οὐδὲν μοι ὠφελήσει τὰ τερπνὰ τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. Μᾶλλόν μοι ἀποθανεῖν εἰς Χριστὸν Ἰησοῦν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. Ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα· ἐκεῖνον θέλω, τὸν δι' ἡμᾶς ἀναστάντα. Ἄρτον Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅς ἐστι σὰρξ Ἰησοῦ Χριστοῦ· καὶ πόμα Θεοῦ θέλω, τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγαπὴ ἄφθαρτος καὶ ἀέννκος ζωή.

THÈME XXXIV

Signes précurseurs de la ruine de Jérusalem.

1. Μετὰ τὴν ἑορτὴν ἡμέραις ὕστερον οὐ πολλαῖς, μίᾳ καὶ εἰκάδι Ἀρτεμισίου μηνός, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως. Τερατεία δ' ἂν ἔδοξεν, οἶμαι, τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστόρητο, καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια. Πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν ἅρματα καὶ φάλαγγες ἔνοπλοι διᾴττουσαι τῶν νεφῶν καὶ κυκλούμεναι τὰς πόλεις.

Κατὰ δὲ τὴν ἑορτὴν ἣ Πεντεκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἀντι-

λαβέσθαι ἔφασαν καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας, « Μεταβαίνωμεν ἐντεῦθεν. »

THÈME XXXV

2. Τὸ δὲ τούτων φοβερώτερον· Ἰησοῦς γάρ τις υἱὸς Ἀνάνου τῶν ἰδιώτων ἀγροῖκος, πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν ἑορτὴν ἐν ᾗ σκηνοποιεῖσθαι πάντας ἔθος τῷ Θεῷ κατὰ τὸ ἱερὸν, ἐξαπίνης ἀναβοᾶν ἤρξατο, « Φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναόν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν πάντα. » Τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ κατὰ πάντας τοὺς στενωποὺς περιήει κεκραγώς.

THÈME XXXVI

3. Τῶν δὲ ἐπισήμων τινὲς δημοτῶν, ἀγανακτήσαντες πρὸς τὸ κακόφημον, συλλαμβάνουσι τὸν ἄνθρωπον καὶ πολλαῖς αἰκίζονται πληγαῖς. Ὁ δ' οὔθ' ὑπὲρ ἑαυτοῦ φθεγξάμενος οὔτ' ἰδίᾳ πρὸς τοὺς παίοντας, ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. Νομίσαντες δ' οἱ ἄρχοντες, ὅπερ ἦν, δαιμονιώτερον εἶναι τὸ κίνημα τοῦ ἀνδρὸς, ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον ἔνθα μάστιξι μέχρις ὀστέων ξαινόμενος οὔθ' ἱκέτευσεν οὔτ' ἐδάκρυσεν· ἀλλ' ὡς ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων πρὸς ἑκάστην ἀπεκρίνατο πληγὴν, « Αἰαῖ Ἱεροσολύμοις. » Τοῦ δὲ Ἀλβίνου διερωτῶντος (οὗτος γὰρ ἔπαρχος ἦν) τίς εἴη, καὶ πόθεν, καὶ διὰ τί ταῦτα φθέγγοιτο, πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο· τὸν δ' ἐπὶ τῇ πόλει θρῆνον εἴρων οὐ διέλιπε, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος ἀπέλυσεν αὐτόν.

4. Ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον οὔτε προσῄει τινὶ τῶν πολίτων, οὔτ' ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν ὥσπερ εὐχὴν μεμελετηκώς, « Αἰαὶ Ἱεροσολύμοις· » ἐθρήνει· οὔτε δέ τινι τῶν τυπτόντων αὐτὸν ὁσημέραι κατηρᾶτο, οὔτε τοὺς τροφῆς μεταδίδοντας ηὐλόγει· Μία δὲ πρὸς πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις. Μάλιστα δ' ἐν ταῖς ἑορταῖς ἐκεκράγει. καὶ τοῦτ' ἐφ' ἑπτὰ ἔτη καὶ μῆνας πέντε εἴρων, οὔτ' ἠμβλύνθη τὴν φωνήν, οὔτ' ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργα τὰς κληδόνας ἰδὼν ἀνεπαύσατο. Περιιὼν γὰρ ἐπὶ τοῦ τείχους, « Αἰαὶ πάλιν τῇ πόλει καὶ τῷ λαῷ καὶ τῷ ναῷ » διαπρύσιον ἐβόα· ὡς δὲ τελευταῖον προσέθηκεν « Αἰαὶ δὲ κἀμοί, » λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς καὶ πλήξας αὐτόν, παραχρῆμα κτείνει· φθεγγόμενος δ' ἔτι τὰς κληδόνας ἐκείνας τὴν ψυχὴν ἀφῆκεν. (Joseph. B. J. VI, 5.)

FIN DE LA TROISIÈME PARTIE




a39003 001869295b